ΣΚΙ. Ἰταλιώτης Σκιπίων, στρατηγὸς, ὁ καθελὼν Καρχηδόνα, καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις. ΜΙΝ. Τί δὲν καὶ σὺ ἐρεῖς; ΣΚΙ. Ἀλεξάνδρου μὲ ἤπιον εἶδε, τόδ' Ἀννίβα ἀμείνονα· ὃς ἐδίωξα νικήσας αὐτὸν, καὶ φυγεῖν καταναγκάσας ἀτίμως. πῶς δὲν εἰκ ἀναίσχυντος ἔστω, ὃς πρὸς Ἀλέξανδρον ἀμιλλᾶται. ὦ εἰδὲ Σκιπίων ἐγὼ ὁ νενικηκὼς αὐτὸν, παραβάλλεσθαι ἀξιῶ; ΜΙΝ. Νὴ Δί' εὐγνώμονα φὴς ὦ Σκιπίων. ὥστε πρῶτος μὲν κεκείσθω Ἀλέξανδρος, μετ' αὐτὸν δὲ σύ. εἶτα εἰ δοκεῖ, δεύτερος Ἀννίβας, εἰδὲ ἕκτος εὐκαταφρόνητος ὤν.

Διάλογος ιθ'.

Διογένης καὶ Ἀλεξάνδρου.

ΔΙΟΓ. Τί τοῦτο ὦ Ἀλέξανδρε, καὶ σὺ τέθνηκας ὥσπερ ἡμεῖς ἄνανδρες;
ΑΛΕΞ. Ὁρᾷς ὦ Διόγνες, ἃ παρέδοξον ἦν, εἰ ἄνθρωπος ὢν, ἀπέθανον. ΔΙΟΓ. Οὐκοῦν ὁ Ἄμμων ἐφάνη σοι, λέγων ἑαυτὸν σε εἶναι υἱόν· σὺ δὲ Φιλίππου ἄρα ἦσθα; ΑΛΕΞ. Φιλίππου δηλαδή· ἃ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν. ΔΙΟΓ. Καὶ μὴν καὶ τὴν Ὀλυμπιάδος τὴν μητέρα σου ὅμοια πολλὰ ἐλέγοντο, διαμονὰ ὁμιλεῖν αὐτῇ καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ. εἶτα οὕτω σε τεχθῆναι. τὸν δὲ Φίλιππον ἐξαπατῆσθαι οἰόμενον πατέρα σε εἶναι. ΑΛ. Κἀγὼ ταῦτα ἤκουον ὥσπερ σύ. νυνὶ δὲ ὁρῶ ὅτι εἶδεν ὑμᾶς ἔστε ἢ μήτηρ, ἔστε οἱ περὶ Ἀμμωνίων προφῆται ἔλεγον. ΔΙΟΓ. Ἀλλὰ τὸ φαῦλον αὐτοῦ εἰκ ἔχησόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ παράγματα

ἐψεύσω. πολλοὶ γὰρ ὑπέπλησαν, θεὸν εἶναί σε νομίζοντες. ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν καταλέλοιπας; ΑΛ. Οὐκ οἶδα, ὦ Διόγνητε. ἃ γὰρ ἔφθασα ὑπισχνῆσθαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον ὅτι ἀποθνήσκων, Περδίκκᾳ τὴν δακτύλιον ἐπέδωκα. πλὴν ἀλλά τί γελᾷς ὦ Διόγνητε. ΔΙΟΓ. Τί γὰρ ἄλλο ἢ ἀνεμνήσθην οἷα ἐποίει ἡ Ἑλλὰς, ἄρτι σε παρεληλυθότα τὴν ἀρχὴν κολακεύοντες, καὶ περιάτλους αἱρήσοντες, καὶ σεραπηγὸν ὑπὲρ τοὺς Βαρβάρους. ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς προσιθέντες, καὶ νεὼς οἰκοδομήσοντες, καὶ θύοντες ὡς Δράκοντι τῷ. ἀλλ' εἰπέ μοι, πῶς σε οἱ Μακεδόνες ἔθαψαν; ΑΛΕΞ. Ἔτι ἐν Βαβυλῶνι κεῖμαι βίτλῳ ταύτῃ ἡμέραν. ὑπισχνεῖσθαι δὲ Πτολεμαῖος ὁ σωματοφύλαξ ἦν ποτε ἀγάγῃ σχολὴν ἀπὸ τῆς θορύβων τῶν ἐν τοσίν, εἰς Αἴγυπτον ἀπαγαγών με, θάψειν ἐκεῖ, ὡς ἡδοίμην εἰς τὴν Αἰγυπτίων θεῶν. ΔΙΟΓ. Μὴ γελάσω ὦ Ἀλέξανδρε, ὁρῶν ἐν ᾅδου ἔτι σε μωραίνοντα, καὶ ἐλπίζοντα Ἄννυβιν, ἢ Ὀσειν ἡδέως; πλὴν ἀλλὰ ταῦτα μέν, ὦ θρόταλε, μὴ ἐλπίσῃς· ἃ γὰρ θέμις ἀνελθεῖν τινα τὴν ἄταξ διαπλαυσάντων τὴν λίμνην, καὶ ἐς τὸ ἔσω τῆς σοφίης παρελθόντων. ἃ γὰρ ἀμελὴς ὁ Αἰακὸς, ἀλλ' ὁ Κέρβερος ἐνκαταφέρνητος. ἐκεῖνα δὴ ἥδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις ὁπότ' ἂν ἐνθυμήσῃ ὅσων εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν ἀφῖξαι, σωματοφύλακας καὶ ὑπασπιστὰς, καὶ σαρίσσας, καὶ χρυσὸν τοσοῦτον, καὶ ἔθνη περισκιρτοῦντα, καὶ Βαβυλῶνα καὶ Βάκτρα, καὶ τὰ μεγάλα θηρία, καὶ τιμὴν, καὶ δόξαν, καὶ τὸ ἀθάνατον εἶναι ἐλπίζοντα, διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλὴν πορφυρέᾳ ἐμπεπορπημένον. ἃ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; τί δακρίεις ὦ μάταιε, ἃ δὲ ταῦτά σε ὁ σοφὸς Ἀεισθένης ἐπαίδευσε, μὴ οἴεσθαι βέβαια εἶναι τὰ παρὰ τῆς

τῆς τύχης; ΑΛΕΞ. Σοφὸς, ἅπαντων ἐκείνῳ κολάκων ὁπλοτατος ὤν, ἐμὲ μόνον ἔασον τὰ Ἀεισοτέλους ᾄδειν, ὅσα μοὶ ἤτησε παρ' ἐμοῦ, οἷα ὢ ἐπέστελλεν. ὡς ἢ κατεχῆτό μου τῇ περὶ παιδείαν φιλοτιμίᾳ θαυπεύων, καὶ ἐπαινῶν, ἄρτι μοὶ ἐς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἄρτι δ' ἐς ταῖς πραξεις, καὶ τὸν πλοῦτον. καὶ γὸ αὖ καὶ τοῦτ' ἀγαθὸν ἡγεῖτ' εἶ), ὡς μὴ αἰσχυνοίμο καὶ αὐτὸς λαμβάνων. γόης, ὦ Διόγνητε, ἄνθρωπος, καὶ τεχνίτης. πλὴν ἀλλὰ τοῦτό γε ὑπολέλαυκα αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ὀπὶ μεγίστοις ἀγαθοῖς, ἃ κατειθμήσω μικρῷ γε ἔμπροσθεν. ΔΙΟΓ. Ἀλλ' οἶδα ὃ δρᾶσεις; ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι, ἐπεὶ ἐπαῦδά γε ἑλλέβορος ἡ φύσις, σὺ ἢ κἂν τὸ Λήθης ὕδωρ χανδὸν ὀπιπασάμενος πίε, καὶ αὖθις πίε, καὶ πολλάκις· οὕτω γὰρ ἂν παύσῃ ὀπὶ τοῖς Ἀεισοτέλους ἀγαθοῖς ἀνιώμενος. καὶ γὰρ καὶ Κλεῖτον ἐκεῖνον ὁρᾷς, καὶ Καλλισθένη, καὶ ἄλλους πολλοὺς ὀπὶ σὲ ὀρμῶντας, ὡς διαπαίσαντο, καὶ ἀμύναντό σε ὧν ἔδρασας αὐτούς. ὥστε ἢ ἑτέραν σὺ ταύτην βάδιζε, καὶ πῖνε πολλάκις, ὡς ἔφην.

Διάλογος κ'.

Ἀλεξάνδρῳ καὶ Φιλίππῳ.

ΦΙΛΙΠ. Νῦν μὲν ὦ Ἀλέξανδρε, οὐκ ἂν ἔξαρνος γένοιο, μὴ οὐκ ἐμὸς υἱὸς εἶ). οὐ γὰρ ἂν ἐτεθνήκεις, Ἄμμωνός γε ὤν. ΑΛΕΞ. Οὐδ' αὐτὸς ἐγνώκειν, ὦ πάτερ, ὡς Φιλίππου τοῦ Ἀμύντου υἱός εἰμι, ἀλλ' ἐδεξάμην τὸ μάντευμα, ὡς χρήσιμον ἐς τὰ πράγματα διάνοιαν εἶναι. ΦΙΛΙΠ. Πῶς λέγεις; χρήσιμον ἐδόκει σοι, τὸ παρέχειν

στεμμάτων ἐξαπατηθησόμενον ὑπὸ τῆς περφηφῆς;
ΑΛΕΞ. Οὐ τοῦτο. ἀλλ' οἱ βάρβαροι κατεπλάγησάν με, καὶ οὐδεὶς ἔτι ἀνθίστατο, οἰόμενοι θεῷ μάχεσθαι. ὥστε ῥᾴον ἐκράτησα αὐτῆς.
ΦΙΛ. Τίνων ἐκράτησας σύ γε ἀξιομάχων ἀνδρῶν, ὃς δειλοῖς ἀεὶ ξυνεκύχθης, τοξεία, καὶ πελτάσται, καὶ γέρρα οἰσύϊνα περβεβλημένοις; Ἑλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν, καὶ Φωκέων, καὶ Ἀθηναίων, καὶ τὸ Ἀρκάδων ὁπλιτικὸν, καὶ τὸ Θετταλικὸν ἵππον, καὶ τοὺς Ἠλείων ἀκοντιστὰς, καὶ τὸ Μαντινέων πελταστικόν. ἢ Θρᾷκας, ἢ Ἰλλυριοὺς, ἢ καὶ Παίονας χρῄσασθαι, τοῖς μεγάλα Μήδων ἦ, καὶ Περσῶν καὶ Χαλδαίων, καὶ χρυσοφόρων ἀνθρώπων, καὶ ἀβρῶν, καὶ οἷα δὴ ὡς περὶ σῶ μύριοι μιᾷ Κλεάρχῳ ἀνελθόντες ἐκράτησαν, οὐδ' εἰς χεῖρας ἐλθεῖν ἐκείνων, ἀλλὰ πεῖν ἢ τόξδμα ἐξικνεῖσθαι, φυγόντων; ΑΛΕΞ. Ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες, οὐκ ἐυκαταφρόνητόν τι ἔργον. καὶ ὅμως οὐ διασπάσας αὐτοὺς, οὐδὲ περσδόσιας ὠνέμην τὰς νίκας, ἐκράτησα αὐτῆς, οὐδ' ὁπωόρκησα πώποτε, ἢ ὑποσχόμενος ἐψευσάμην, ἢ ἄπιστον ἔπραξά τι τῶν νικῶν ἕνεκα, καὶ τοῦ Ἕλλησιν ἦ, τοῦ μὲν ἀναιμωτὶ παρέλαβον, Θηβαίους ἦ ἴσως ἀκύεις ὅπως μετῆλθον. ΦΙΛ. Οἶδα ταῦτα πάντα, Κλεῖτον γὰρ ἀπήγγειλέ μοι, ὃν σὺ πρὸ θορηλίου διελάσας μεταξὺ δεινὰ ἐποίησας ἐφόνευσας, ὅτι με πρὸς τὰς σὰς πράξεις ἐπῃνέσαι ἐτόλμησε, σὺ ἦ καὶ τῷ Μακεδονικῷ χλαμύδα καταβαλὼν, κάνδυν, ὡς φασι, μετενέδυς· καὶ τιάραν ὀρθὴν ἐπέθης, καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν ἠξίους. καὶ τὸ πάντων γελοιότατον, ἐμίμεο τὰ τῶν νενικημένων. ἐῶ γὰρ λέγειν ὅσα ἄλλα ἔπραξας, λέγω δὲ τὴν κατακλείουσαν πεπαιδιμένους ἄνδρας,

ἄνδρας, καὶ χίμας τοιούτους γαμβρὸν, καὶ Ἡφαιστίωνα ὑφαγαπῶν. ἓν ἐπήνεσα μόνον ἀκούσας, ὅτι ἀπέχῃ τῆς τοῦ Δαρείου γυναικὸς καλῆς οὔσης, καὶ τῆς μητρὸς αὐτοῦ, καὶ τῶν θυγατέρων ἐπεμελήθης. βασιλικὰ γὰρ ταῦτα. ΑΛΕΞ. Τὸ φιλοκίνδυνον δὲ, ὦ πάτερ, οὐκ ἐπαινεῖς, καὶ τὸ ἐν Ὀξυδράκαις πρῶτον καθάλαδαι εἰς τὸ ἐντὸς τοῦ τείχους, καὶ τοσαῦτα λαβεῖν τραύματα; ΦΙΛ. Οὐκ ἐπαινῶ τοῦτο, ὦ Ἀλέξανδρε, οὐχ ὅτι μὴ καλὸν ᾖ) οἶμαι καὶ τιτρώσκεσθαί ποτε τὸν βασιλέα, καὶ πρακινδυνεύειν τοῦ κρατεῖν, ἀλλ' ὅτι σοι τοιοῦτο ἥκιστα ζυμφέρει. Θεὸς γὰρ ᾖ) δοκῶν, εἴποτε βοηθεῖης, καὶ βλέπειν σε φοβήσῃ τὸν πολέμιον ἐκκομιζόμενον, αἵματι ῥέοντα, οἰμώζοντα ὅτι τῷ τραύματι, ταῦτα γέλως ἂν τοῖς ὁρῶσι. καὶ ὁ Ἄμμων, φησὶ, καὶ Διονύσιος ἠλέγχετο, καὶ οἱ τραγῳδοποιοὶ, κόλακες. ἢ τίς οὐκ ἂν ἐγέλασεν, ὁρῶν τὸν τοῦ Διὸς υἱὸν λειποψυχοῦντα, δεόμενον τοῦ ἰατροῦ βοηθεῖν; νῦν μὲν γὰρ ὁπότε ἤδη τέθνηκας, οὐκ οἶδα πολλοὺς ᾖ) τοὺ τῶν τραγῳδοποιῶν ἐκείνων ὑπερτομοῦντας, ὁρῶντας τὸν νεκρὸν τοῦ θεοῦ ἐκτεταμένον κείμενον, μυδῶντα ἤδη καὶ ἐξῳδηκότα, καὶ νόμον σωμάτων ἁπάντων; ἄλλως τε, καὶ τὸ χρήσιμον ὁ ἔφης Ἀλέξανδρε, τὸ διὰ τοῦτο κρατεῖν ῥᾳδίως, πολύ σε τῆς δόξης ἀφῃρεῖτο τοῦ καταρθωμάτων. πᾶν γὰρ ἐδόκει ἐνδεὲς ὑπὸ θεοῦ γίνεσθαι δοκοῦν. ΑΛΕΞ. Οὐ ταῦτα φρονοῦσιν οἱ ἄνθρωποι περὶ ἐμοῦ, ἀλλ' Ἡρακλεῖ καὶ Διονύσῳ ἐναμιλλον τιθέασί με. καί τοι τοῦ Ἄορνον ἐκείνην ἀφ' ἑτέρας ἐκείνων λαβόντος, ἐγὼ μόνος ἐχειρωσάμην. ΦΙΛ. Ὁρᾷς ὅτι ταῦτα ὡς υἱὸς Ἄμμωνος λέγεις, ὃς Ἡρακλεῖ καὶ Διονύσῳ παραβάλλεις σεαυτὸν, καὶ οὐκ αἰσχύνῃ ὦ Ἀλέ-

ξανδρε,

ξανθρε, ἐδὲ τὸν τύφον ὑπομαθήσῃ, καὶ γνώσῃ σεαυτὸν καὶ σωτῆς ἤδη νεβεὸς ὢν ;

Διάλογος κα'.

Ἀχιλλέως καὶ Ἀντιλόχου.

ΑΝΤΙΛ. Οἷα πρώην Ἀχιλλεῦ περὶς τὸν Ὀδυσέα σοι εἴρηται περὶ τῦ θανάτυ, ὡς ἀχθυνῆ καὶ ἀνάξια τοῖν διδασκάλοιν ἀμφοῖν, Χείρωνός τε καὶ Φοίνικος. ἠκροώμην γὰρ ὁπότε ἔφης βέλεσθαι ἐπάρχος ὢν, θητεύειν παρά τινι τῆς ἀκλήρων, ᾧ μὴ βίος πολὺς εἴη μᾶλλον, ἢ πάντων ἀνάσσειν τῆς νεκρῶν. ταῦτα μὲν οὖν ἀχθυνῆ τινα φρύγα δηλοῖ, καὶ περὶς τὸ καλῶς ἔχον φιλόζωον ἴσως ἐχρῆν λέγειν. τὸν Πηλέως δ' υἱὸν τὸν φιλοκινδυνότατον ἡρώων ἀπάντων τοσαῦτα ἄτω περὶ αὐτῦ διανοεῖσθαι, πολλὴ αἰσχύνη, καὶ ἐναντιότης περὶς τὰ πεπραγμένα σοι ἐν τῷ βίῳ. ὃς ἐξὸν ἀκλεῶς ἐν τῇ Φθιώτιδι πολυχρόνιον βασιλεύειν, ἑκὼν περεῖλε τὸν μετ' τῆς ἀληθῆς δόξης θάνατον. ΑΧΙΛ. Ὦ πᾶ Νέσορ, ἀλλὰ τότε μὲν ἄπειρος ἔτι ἦς ἐνταῦθα ὢν, καὶ τὸ βέλτιον ἐκείνων ὁπότερον ἐδ' ἀγνοῶν, τὰ δύσλυτον ἐκεῖνο δόξαιον περεῖμεν τῦ βίυ. νυνὶ δ' σωίημι ἤδη, ὡς ἐκείνη μὲν ἀνωφελὴς, εἰ καὶ ὅ, τι μάλιστα οἱ ἄνω ῥαψῳδήσασι, μετ' νεκρῶν δὲ ὁμοτιμία. καὶ ὅτε τὸ καλλος ἐκεῖνο ὦ Ἀντίλοχε, ὅτε ἡ ἰσχὺς πάρεστιν, ἀλλὰ κείμεθα ἅπαντες ὑπὸ τῷ αὐτῷ ζόφῳ ὅμοιοι, καὶ κατ' ὀδὲν ἀλλήλων διαφέροντες. καὶ ὅτε οἱ τῆς Τρῴων ἠκροὶ δεδίασί με, ὅτε οἱ τῆς Ἀχαιῶν

Ἀχαιῶν θεραπόντων, ἰσηγορία δὲ ἀκριβὴς, καὶ νεκρὸς ὅμοιος, ἡμῖν κακὸς, ἡδὲ καὶ ἐλεύθερος. ταῦτά με ἀνιᾷ, καὶ ἄχθομαι, ὅτι μὴ θηλύνω ζῶν. ΑΝΤΙΛ. Ὅμως τί ἂν ἄν τις πάθοι ὦ Ἀχιλλεῦ; ταῦτα γὰρ ἔδοξε τῇ φύσει, πάντως ἀποθνήσκειν ἅπαντας. ὥστε χρὴ ἐμμένειν τῷ νόμῳ, καὶ μὴ ἀνιᾶσθαι τοῖς διατεταγμένοις. ἄλλως τε, ὁρᾷς πολλοὺς ἑταίρων ὅσοι περὶ σὲ, ἐσμὸν οἵδε; μὴ μικρὸν δὴ καὶ Ὀδυσσεὺς ἀφίξεται πάντως. Φέρε δὲ παραμυθίαν καὶ ἡ κοινωνία τῶν παθημάτων, καὶ τὸ μὴ μόνον αὐτὸν πεπονθέναι. Ὁρᾷς τὸν Ἡρακλέα, καὶ τὸν Μελέαγρον, καὶ ἄλλους θαυμαστοὺς ἄνδρας, οἱ οὐκ ἂν οἶμαι δέξαιντο ἀνελθεῖν, εἴτις αὐτοὺς ἀναπέμψει θηλύνοντας ἀκλεέσι καὶ ἀβίοις ἀνδράσιν. ΑΧΙΛ. Ἑταιρικὴ μὲν ἡ παραίνεσις. ἐμὲ δὲ οὐκ οἶδ' ὅπως ἡ μνήμη πολὺ παρὰ τὸν βίον ἀνιᾷ, οἶμαι δὲ καὶ ὑμᾶς ἔκαστον. εἰ δὲ μὴ ὁμολογεῖτε, ταύτῃ χείρους ἐσὲς καθ' ἡ συχίαν αὐτὸ πάσχοντες. ΑΝΤΙΛ. Οὐκ· ἀλλ' ἀμείνους ὦ Ἀχιλλεῦ. τὸ γὰρ ἀνωφελὲς τῶν λέγειν ὁρῶμεν. σιωπᾶν γὰρ, καὶ φέρειν, καὶ ἀνέχεσθαι, δέδοται ἡμῖν, μὴ καὶ γελᾶν ὀφλισκάνοντας, ὥσπερ σὺ, τοιαῦτα εὐχόμενοι.

Διάλογος κϛ'.

Μενίππου καὶ Ταντάλου.

ΜΕΝ. Τί κλαίεις ὦ Τάνταλε; ἢ τί σε αὐλὸν ὀδύρῃ, ὅτι τῇ λίμνῃ ἐξῶς; ΤΑΝ. Ὅτι ὦ Μένιππε, ἀπόλωλα ὑπὸ τῆς δίψης. ΜΕΝ. Οὕτως ἀργὸς εἶ ὡς μὴ ὀπικύψας πιεῖν, ἢ καὶ νὴ Δί' ἀρυσάμενος κοίλῃ τῇ χειρί; ΤΑΝ. Οὐδὲν ὄφελος· οἱ ὀπικύψαιμι. φεύγει γὰρ τὸ ὕδωρ ἐπειδὰν προσίοντα αἰσθηται

αἴσθηταί με. ἐῶ δὲ ποτε καὶ ἀρύσαιμι, καὶ περισενέγκω τῷ σώματι, ἢ φθάνω βρέξας ἄκρον τὸ χεῖλος, καὶ διὰ τῆς δακτύλων διαῤῥυεὶν, ὀκ οἶσθ' ὅπως αὖθις ἀπολείπει ξηρὰν τὴν χεῖρά με. ΜΕΝ. Τεράστιόν τι πάσχεις ὦ Τάνταλε, ἀτὰρ εἰπέ μοι, τί γὰρ καὶ δέῃ τοῦ πιεῖν; ἢ γὰρ σῶμα ἔχεις, ἀλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ πε τέθαπται, ὅσῳ καὶ πεινῶν καὶ διψῶν ἐδωκάλο. σὺ δὲ ἡ ψυχὴ, πῶς ἂν ἔτι ἢ διψώης, ἢ πίνοις; ΤΑΝ. Τοῦτ' αὐτό ἡ κόλασίς ὅστι, τὸ διψῶν με τὴν ψυχὴν ὡς σῶμα ὄσαν. ΜΕΝ. Ἀλλὰ τοῦτο μὲν ὕστο πιεσόμεθα, ἐπεὶ φῆς τοῦ διψῆν κολάζεσθαι. τί δ' οὖν σοι τὸ δεινὸν ἔσαι; ἢ δέδιας μὴ ἐνδεὴς τοῦ ποτοῦ ἀποθάνῃς; ὀκ ὁρῶ γὰρ ἄλλον μοι τοῦτον ἄδυ, ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον. ΤΑΝ. Ὀρθῶς μὲν λέγεις. καὶ τοῦτο δ' οὖν μέρος τῆς καταδίκης, τὸ ὀπθυμεῖν πιεῖν, μηδὲν δεόμενον. ΜΕΝ. Ληρεῖς ὦ Τάνταλε, καὶ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς, ἀκρᾶτε γε Ἑλλεβόρε νὴ Δία. ὅς τις τὰν ἀντιον τοῖς ὑπὸ τῆς λυπούντων κωμῶν δεδηγμένοις πέπονθας. ἢ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος. ΤΑΝ. Οὐδὲ τὸν Ἑλλέβορον, ὦ Μένιππε, ἀναίνομαι πιεῖν, γένοιτό μοι μόνον. ΜΕΝ. Θαῤῥεῖ ὦ Τάνταλε, εὖ ἴσθι ὡς ὅτε σὺ, ὅτε ἄλλος πίεται ἦν νεκρῶν. ἀδιάφορον γάρ. καίτοι ἢ πάντες ὥσπερ σὺ ἐν καταδίκης διψῶσι, τοῦ ὕδατος αὐτοῦ ὀκ ὀρεομένοις.

Διάλογος κγ'.

Μενίππου καὶ Αἰακοῦ.

ΜΕΝ. Πρὸς τοῦ Πλούτωνος ὦ Αἰακέ, διήγησαί μοι τὰ ἐν ᾅδου πάντα. ΑΙ. Οὐ ῥᾴδιον ὦ Μένιππε ἅπαντα. ὅσα μέν τοι κεφαλαιώδη μάνθανε. ὑτοσὶ μέν, ὅτι Κέρβερός ὅστιν, οἶσθα· καὶ τὸν πορθμέα τοῦτον, ὃς σε διεπέρασε, καὶ τὸν λίμνην, καὶ τὸν Πυριφλεγέθοντα ἤδη ἑώρακας ἐσιών. ΜΕΝ. Οἶδα ταῦτα, καὶ σὲ, ὅτι πυλωρεῖς. καὶ τὸν βασιλέα εἶδον, καὶ τὰς Ἐριννῦς. τοὺς δ' ἀνθρώπους μοι τοὺς πάλαι δεῖξον, καὶ μάλιστα τοὺς ὀπισήμους αὐτῶν. ΑΙ. Οὗτος μὲν Ἀγαμέμνων, ἕτος δ' Ἀχιλλεύς, ἕτος δὲ Ἰδομενεύς, πλησίον ἔπειτα Ὀδυσσεύς, εἶτα Αἴας, καὶ Διομήδης, καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων. ΜΕΝ. Βαβαὶ Ὅμηρε, οἷά σοι τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔρριπται, ἄγνωστα, καὶ ἄμορφα, κόνις πάντα, καὶ λῆρος πολύς, ἀμυδρὰ ὡς ἀληθῶς κάρηνα. ἔστος δ' ὦ Αἰακέ, τίς ὅδε; ΑΙ. Κυρὴς ὅδε. ἔστος δὲ Κροῖσος. ὁ δ' ὑπὲρ αὐτὸν, Σαρδανάπαλος. ὁ δ' ὑπὲρ τούτους, Μίδας. ἐκεῖνος δὲ, Ξέρξης. ΜΕΝ. Εἶτά σε ὦ κάθαρμα ἡ Ἑλλὰς ἔφριττε ζυγνωστὰ μὲν τὸν Ἑλλήσποντον, διὰ δὲ πλοῶν ὁπλιτικῶν; οἷος δὲ καὶ ὁ Κροῖσός ὅδε; τὸν Σαρδανάπαλον δὲ ὦ Αἰακέ, παίδευσαί μοι χρὴ κόρρης ὀπίσω τρέψαντα. ΑΙ. Μηδαμῶς, διαθρύψεις γὰρ αὐτῷ τὸ κραγγόνιον, γυναικεῖον ὄν. ΜΕΝΙΠ. Οὐκοῦν, ἀλλὰ περισπλύξομαί γε πάντως ἀνδρογυνώψ ὄντι. ΑΙΑΚ. Βούλει δέ σοι ὀπισθέξω καὶ τὸν σοφόν; ΜΕΝ. Νὴ Δία γε.

ΑΙΑΚ.

ΑΙΑΚ. Πρῶτον ἕτός σοι ὁ Πυθαγόρας ὅδι. ΜΕΝ. Χαῖρε ὦ Εὔφορβε, ἢ Ἄπολλον. ἢ ὅ, τι ἂν ἐθέλῃς. ΠΥΘ. Νὴ, καὶ σύ γε ὦ Μένιππε. ΜΕΝ. Οὐκ ἔτι χρυσοῦς ὁ μηρός ὅδι σοι; ΠΥΘ. Οὐ γάρ. ἀλλὰ φέρε ἴδω, εἴτι σοι ἐδώδιμον ἡ πήρα ἔχει. ΜΕΝ. Κυάμους ὦ γαθέ. ὥστε καὶ τοῦτό σοι ἐδώδιμον. ΠΥΘ. Δὸς μόνον, ἄλλα παρὰ νεκροῖς δόγματα. ἔμαθον γὰρ ὡς ἁδὲν ἴσον κύαμοι καὶ κεφαλαὶ τοκήων ἐνθάδε. ΑΙΑΚ. Οὗτος ἦ Σόλων ὁ Ἐξηκεστίδου, καὶ Θαλῆς ἐκεῖνος. καὶ παρ' αὐτοὺς, Πιττακὸς καὶ οἱ ἄλλοι. ἐπὰ ἦ πάντες ἠσὶν ὡς ὁρᾷς. ΜΕΝ. Ἄλυποι ἔτοι ὦ Αἰακὲ μόνοι, καὶ φαιδροὶ πᾶν ἄλλων. ὁ ἦ ποδαπὸς πλέως, ὥσπερ ἐγκεφαλίας ἄρτος, ὁ ταῖς φλυκταίναις ὅλος ἐξιωθηκώς, τίς ὅστιν; ΑΙΑΚ. Ἐμπεδοκλῆς ὦ Μένιππε, ἡμίεφθος ὑπὸ τῆς Αἴτνης παρών. ΜΕΝ. Ὦ χαλκόπους βέλτιστε, τί παθὼν σαυτὸν ἐς τοῦ κρατῆρας ἐνέβαλες; ΕΜΠ. Μελαγχολία τις ὦ Μένιππε. ΜΕΝ. Οὐ μὰ Δία, ἀλλὰ κενοδοξία, καὶ τύφος, καὶ πολλὴ κόρυζα. ταῦτά σε ἀπλωθερήκασιν αὐταῖς κρηπῖσιν οὐκ ἄξιον ὄντα, πλὴν ἀλλ' ἁδέν σε τὸ σόφισμα ὤνησεν. ἐφορᾴθης γὰρ τεθνεώς. ὁ Σοκράτης δὲ, ὦ Αἰακὲ, πῇ ποτε ἄρά ὅστι; ΑΙΑΚ. Μετὰ Νέστορος καὶ Παλαμήδους ἐκεῖνος ληρεῖ τὰ πολλά. ΜΕΝ. Ὅμως ἐβουλόμην ἰδεῖν αὐτὸν, εἴπου ἐνθάδε ὅστιν. ΑΙΑΚ. Ὁρᾷς τὸν φαλακρόν; ΜΕΝ. Ἅπαντες φαλακροί εἰσιν. ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώρισμα. ΑΙΑΚ. Τὸν σιμὸν λέγω. ΜΕΝ. Καὶ τοῦθ' ὅμοιον. σιμοὶ γὰρ ἅπαντες. ΣΩΚ. Ἐμὲ ζητεῖς ὦ Μένιππε; ΜΕΝ. Καὶ μάλα ὦ Σώκρατες. ΣΩΚ. Τί τὰ ἐν Ἀθήναις;

ΜΕΝ. Πολλοὶ πᾶν νέων φιλοσοφεῖν λέγεσι.

καὶ

καὶ τὰγε σχήματα αὐτὰ, καὶ τὰ βαδίσματα εἰ θεάσαιό τις, ἄκρει φιλόσοφοι μάλα πολλοί, τά δ' ἄλλα ἐύρησεις οἶμαι, οἷόν ἦκε παρὰ σοι Ἀείσιππος, καὶ Πλάτων αὐτός. ὁ μὲν ὑπωπιέων μύρε, ὁ δὲ τοῦ ἐν Σικελίᾳ τυράννε θεραπεύειν ἐκμαθών. ΣΩΚ. Περὶ ἐμοῦ δὲ τί φρονεῦσιν; ΜΕΝ. Εὐδαίμων ὦ Σώκρατες ἄνθρωπος εἶ, τάγε τοιαῦτα. πάντες ἔν σε θαυμάσιον οἴονται ἄνδρα γεγωνῆναι, καὶ πάντα ἐγνωκέναι ταῦτα. δεῖ γὰρ οἶμαι τὰληθὲς λέγειν, οὐδὲν εἰδότα. ΣΩΚ. Καὶ αὐτὸς ἔφασκον ταῦτα πρὸς αὐτούς. οἱ δὲ εἰρωνείαν ᾤοντο τὸ πρᾶγμα εἶναι. ΜΕΝΙΠ. Τίνες δ' ἔτοί εἰσιν οἱ περὶ σέ; ΣΩΚ. Χαρμίδης ὦ Μένιππε, καὶ Φαῖδρος, καὶ ὁ τοῦ Κλεινίου. ΜΕΝ. Εὖγε ὦ Σώκρατες, ὅτι καὶ ταῦθα μέτει τὴν σαυτοῦ τέχνην, καὶ οὐκ ὀλιγωρεῖς τῶν καλῶν. ΣΩΚ. Τί γὰρ ἂν ἄλλο ἥδιον πράττοιμι; ἀλλὰ πλησίον ἡμῶν κατάκειτο, εἰ δοκεῖ. ΜΕΝ. Μὰ Δί'. ὅπη τὸν Κερβέρον γὰρ καὶ Σαρδανάπαλον ἄπειμι, πλησίον οἰκήσων αὐτῶν. ἔοικα γοῦν οὐκ ὀλίγα γελάσεσθαι, οἰμωζόντων ἀκούων. ΑΙΑΚ. Κἀγὼ ἤδη ἄπειμι, μὴ καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών. τὰ πολλὰ δ' ἐσαῦθις ὄψει ὦ Μένιππε. ΜΕΝ. Ἀπιθι. καὶ ταυτὶ γὰρ ἱκανὰ ὦ Αἰακέ.

Διάλογος κδ'.

Μενίππε καὶ Κερβέρε.

ΜΕΝ. Ὦ Κέρβερε, συγγνωὶς γάρ εἰμί σοι, κύων καὶ αὐτὸς ὤν, εἰπέμοι πρὸς τὸ Στυγὸς, οἷος ἦν ὁ Σωκράτης ὁπότε κατήει

καλῆναι πρὸς ὑμᾶς. εἰκὸς δέ σε θεὸν ὄντα; μὴ ὑλακτεῖν μόνον, ἀλλὰ καὶ ἀνθρωπικῶς φθέγγεσθαι, ὁπότ' ἐθέλοις. ΚΕΡΒ. Πόρρωθεν μὲν ὦ Μένιππε, παντάπασιν ἐδόκει ἀζέπλω πρόσωπον προσιέναι, καὶ ὑπὸ πάνυ δεδιέναι τὸν θάνατον δοκῶν. καὶ τοῦτ' ἐμηχανῶ τοῖς ἔξω τῆς σομίδος ἑαυτὸν ἐθέλων. ἐπεὶ δὲ κατέκυψεν εἴσω τῆς χάσματος, καὶ εἶδε τὸν ζόφον, κἀγὼ ἔτι διαμέλλοντα αὐτὸν δακὼν τῷ κωνείῳ, κατέπασσα τῆς ποδὸς, ὥσπερ τὰ βρέφη ἐκώκυε, καὶ τὰ ἑαυτοῦ παιδία ὠδύρετο, καὶ παντοῖος ἐγλύστο. ΜΕΝ. Οὐκοῦν σοφιστὴς ὁ ἄνθρωπος ἦν, καὶ οὐκ ἀληθῶς κατεφρόνει τοῦ πράγματος; ΚΕΡΒ. Οὔκ· ἀλλ' ἐπεὶ ἀναγκαῖον αὐτὸ ἐώρα, κατεθαρσύνετο ὡς δῆθεν οὐκ ἄκων πεισόμενος, ὃ πάντως ἔδει παθεῖν, ὡς θαυμάσωνται οἱ θεαταί. καὶ ὅλως, ἐπεὶ πάντων γε ἦν τοιούτων εἰπεῖν ἂν ἔχοιμι, ἕως τῆς σομίδος τολμηροὶ, καὶ ἀνδρεῖοι, τάδ' ἔνδοθεν, ἔλεγχος ἀκριβής. ΜΕΝ. Ἐγὼ δὲ πῶς σοι κατελήλυθέναι ἔδοξα; ΚΕΡΒ. Μόνος ὦ Μένιππε ἀξίως τῆς ψυχῆς, καὶ Διογένους πρὸ σοῦ, ὅτι μὴ ἀναγκαζόμενοι ἐσήλθετε, μήδ' ὠθούμενοι, ἀλλ' ἐθελούσιοι γελῶντες, οἰμώζειν παρασκευάζοντας ἅπασιν.

Διάλογος κε'.

Χάρωνος καὶ Μενίππου.

ΧΑΡ. Ἀπόδος ὦ καλάθραξ τὰ πορθμία. ΜΕΝ. Βόα, εἰ τοῦτό σοι ἥδιον ὦ Χάρων. ΧΑΡ. Ἀπόδος φημὶ ἀνθ' ὧν σε διεπορθμευσάμην. ΜΕΝ. Οὐκ ἂν λάβοις

λάβοις παρὰ τοῦ μὴ ἔχοντος. ΧΑΡ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων; ΜΕΝ. Εἰ μὴ καὶ ἄλλος τις, οὐκ οἶδα. ἐγὼ γοῦν οὐκ ἔχω. ΧΑΡ. Καὶ μὴν ἄγξω σε νὴ τὸν Πλούτωνα, ὦ μιαρὲ, ὧν μὴ ἀποδῷς. ΜΕΝ. Κἀγὼ τῷ ξύλῳ σου κατάξας, διαλύσω τὸ κρανίον. ΧΑΡ. Μάτην ἔσῃ πεπλουκὼς τοσοῦτον πλοῦν; ΜΕΝ. Ὁ Ἑρμῆς σοὶ ἐμοῦ ἀποδότω, ὃς με παρέδωκέ σοι. ΕΡΜ. Νὴ Δία ὀναίμην, εἰ μέλλω γε καὶ ἀφεξελίνειν τὴν νεκρῶν. ΧΑΡ. Οὐκ ἀποκήσομαί σου. ΜΕΝ. Τοῦτό γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον, παρέμιμνε. πλοῦν δ' ἀλλ' ὅ γε μὴ ἔχω, πῶς ἂν λάβοις; ΧΑΡ. Σὺ δ' οὐκ ἤδεις ὡς κομίζειν δέον; ΜΕΝ. ἤδειν μὲν, οὐκ εἶχον δέ. τί ἦν, ἐκλιῶ διὰ τοῦτο μὴ ἀποθανεῖν; ΧΑΡ. Μόνον ἦν αὐχήσεις περῖκα πεπλευκέναι; ΜΕΝ. Οὐ περῖκα ὦ βέλτιστε. καὶ γὰρ ἐλιπόμην, καὶ τὴν κώπην ἐπελαβόμην, καὶ οὐκ ἔκλαιον μόνον ἅπαν ἄλλων ὀπαδῶν. ΧΑΡ. Οὐδὲν ταῦτα πρὸς τὰ πορθμεῖα. τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ. ὁ γὰρ Αἰακὸς οὕτως ἠθέλησε. ΜΕΝ. Μὴ ἐνόχλει μοι. ΧΑΡ. Δεῖξον τι ἐν τῇ πήρᾳ ἔχεις. ΜΕΝ. Θέρμους εἰ θέλεις, καὶ τὴν Ἑκάτης τὸ δεῖπνον. ΧΑΡ. Πόθεν τοῦτον ἡμῖν ὦ Ἑρμῆ τὸν κυνᾶ ἤγαγες; οἷα γῆ, καὶ ἐλάλει παρὰ τὴν πλοῦν, καὶ ὀπαδῶν ἁπάντων καταγελῶν, καὶ ὀπισθοφλάστων, καὶ μόνον ᾄδων οἰμωζόντων ἐκείνων. ΕΡΜ. Ἀγνοεῖς ὦ Χάρων, οἷον ἄνδρα διεπόρθμευσας; ἐλεύθερον ἀκεραίως, καὶ δεσμὸς οὐδεὶς μέλει. οὗτός ἐστιν ὁ Μένιππος. ΧΑΡ. Καὶ μὴν ἄν σε λάβω σοί; ΜΕΝ. Ἂν λάβῃς ὦ βέλτιστε, δῆς γε οὐκ ἂν λάβοις.

Διάλογος

Διάλογος κέ.

Διογένης καὶ Μαυσώλος.

ΔΙΟΓ. Ὦ Κάρ, ὅτι τίνι μέγα φρονεῖς, καὶ πάντων ἡμῶν περιμᾶσθαι ἀξιοῖς; ΜΑΥ. Καὶ ὅτι τῇ βασιλείᾳ μὲν ὧν Σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν ἐνίων. καὶ νήσους δέ τινας ὑπηκόους εἶχον, καὶ ἄχρι Μιλήτου ἐπέβην, τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος. καὶ καλὸς ἦν, καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός. τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ὑπικείμενον, ἡλίκον οὐκ ἄλλος νεκρός, ἀλλ' οὐδὲ ὅτῳοῦν ἐς κάλλος ἐξησκημένον, ἵππων καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων λίθου τῷ καλλίστῳ, οἷον οὐδὲ νεὼν ἔυρῃ τις ἂν ῥᾳδίως. ἆ δοκῶ σοι δικαίως ὅτι τούτοις μέγα φρονεῖν; ΔΙΟΓ. Ἐπὶ τῇ βασιλείᾳ φῄς, καὶ τῷ κάλλει καὶ τῷ βάρει τοῦ τάφου; ΜΑΥ. Νὴ Δί' ὅτι τούτοις. ΔΙΟΓ. Ἀλλ' ὦ καλὲ Μαύσωλε, ὅτε μὲ ἰσχὺς ἔτι σοι ἐκείνη, ὅτε ἡ μορφὴ πάρεστιν. εἰ γῦν τινα ἑλοίμεθα δικασὴν συμορφίας πέρι, ὃν ἔχω εἰπεῖν τίνος ἕνεκα τὸ σὸν κρανίον προτιμηθείη ἂν τοῦ ἐμοῦ· φαλακρὰ γὰρ ἄμφω, καὶ γυμνὰ, καὶ τοὺ ὀδόντας ὁμοίως προφαίνομεν, καὶ τοὺ ὀφθαλμοὺς ἀφιεμεν, καὶ τὰς ῥῖνας ὑποστισμώμεθα. ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι, Ἁλικαρνασσεῦσι μὲν ἴσως εἶεν ὑπιδεικνυσθαι, καὶ φιλοτιμεῖσθαι πρὸς τοὺ ξένους, ὡς δήτι μέγα οἰκοδόμημα αὐτοῖς ὑπῆ. σὺ δὲ ὦ βέλτιστε, οὐχὶ ὁρῶ ὅ, τι ὠφελήσει αὐτὸν πλὴν εἰ μὴ τοῦτο φῄς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς

θοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πιεζόμενος. ΜΑΓΣ. Ἀνόητα οὖν μοι ἐκεῖνα πάντα, καὶ ἰσότιμος ἔσται Μαύσωλος, καὶ Διοχθώνης. ΔΙΟ. Οὐκ ἰσότιμος ὦ γενναιότατε· ἀλλ, Μαύσωλος μὲν γὰρ οἰμώξεται, μεμνημένος ἧς ὑπὸ γῆς, ἐν οἷς ἐυδαιμονεῖν ᾤετο. Διοχθώνης δὲ καταγελάσεται αὐτοῦ. καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἑρεῖ ἑαυτῷ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς, καὶ ἀδελφῆς κατεσκευασμένον. ὁ Διοχθώνης δ', τῷ μὲν σώματι εἰ καί τινα τάφον ἔχει, οὐκ οἶδεν. οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτου. λόγον δ' τοῖς ἀείσοις περὶ αὐτοῦ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκὼς ὑψηλότερον ἢ Χαρῶν ἀνδραποδίσασθαι τὸ σὸν μνῆμα, καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

Διάλογος κζ'.

Νιρέως, Θερσίτυ, καὶ Μενίππου.

ΝΙΡ. Ἆρ' οὖν Μένιππος οὗτοσὶ δικάσει, πότερος εὐμορφότερός ἐστιν. εἰπὲ ὦ Μένιππε, τί καλλίων σοι δοκῶ; ΜΕΝ. Τίνες δ' καὶ ἐστε, πρότερον οἶμαι; χρὴ γὰρ τοῦτο εἰδέναι. ΝΙΡ. Νιρεὺς καὶ Θερσίτης. ΜΕΝ. Πότερος ὁ Νιρεύς, καὶ πότερος οὖν ὁ Θερσίτης; οὐδέτερον γὰρ τοῦτο δῆλον. ΘΕΡ. Ἐν μὲν ἤδη τοῦτ' ἔχω, ὅτι ὅμοιός εἰμί σοι, καὶ οὐδὲν τηλικοῦτον διαφέρεις, ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπῄνεσεν, ἀπράγμονα εὐμορφότατον προσωπεύων. ἀλλ' ὁ φοξὸς ἐγὼ, καὶ ψελλὸς, οὐδὲν χείρων ἐφάνλω τοῦ δικαστοῦ. ἄγε δή σοι ὦ

Μένιππε,

Μένιππε, ὄνθλινα καὶ ξυμορφότερον ἤγῃ. NIP. Ἐμὲ τὸν Ἀγλαΐας καὶ Φάρσωνος, ὃς κάλλιστος ἀνὴρ ἦλθεν ὑπὸ Ἴλιον. MEN. Ἀλλ' ἐχὶ καὶ ὑπὸ γλῶ, ὡς οἶμαι, κάλλιστος ἦλθες. ἀλλὰ τὰ μὲν ὀστᾶ ὅμοια, τὸ δὲ κρανίον, ταύτῃ μόνον ἄρα διαφέρουσι τὸ Θερσίτου κρανίου, ὅτι ἀθρυπτον τὸ σόν. ἀλαπαδνὸν γὰρ αὐτό, καὶ οὐκ ἀνδρῶδες ἔχεις. NIP. Καὶ μὴν ἔρυθον Ὀμηρον ὁπωσοῦν ἐῶ ὁπότε σωφρονέστατον τοῖς Ἀχαιοῖς. MEN. Ὀνείρατά μοι λέγεις. ἐγὼ δὲ ἃ βλέπω, καὶ νῦν ἔχεις. ἐκεῖνα δέ, οἷ τότε ἴσασιν. NIP. Οὐκοῦν ἐγὼ ἐνταῦθα ξυμορφότερός εἰμι ὦ Μένιππε; MEN. Οὔτε σύ, οὔτε ἄλλος ἄμορφος· ἰσοτιμία γὰρ ἐν ᾅδου, καὶ ὅμοιοι ἅπαντες. ΘΕΡ. Ἐμοὶ μὲν καὶ τοῦτο ἱκανόν.

Διάλογος κή.

Μενίππε καὶ Χείρωνος.

MEN. Ἧκουσα ὦ Χείρων, ὡς θεὸς ὢν ὑπεθυμήσθης ἀποθανεῖν. XEI. Ἀληθῆ ταῦτ' ἤκουσας ὦ Μένιππε. καὶ τέθνηκα, ὡς ὁρᾷς, ἀθάνατος εἶναι ἐθελήσας. MEN. Τίς δέ σε ἔρως τοῦ θανάτου ἔσχεν, ἀνεσάσας τοῖς πολλοῖς χρήματος; XEIP. Ἐρῶ πρός σε οὐκ ἀσωφρόνως ὄντα. οὐκ ἐῶ ἔτι ἡδὺ ἀπολαύειν τῆς ἀθανασίας. MEN. Οὐκ ἡδὺ ἐῶ, ζῶντα ὁρᾶν τὸ φῶς; XEIP. Οὐκ ὦ Μένιππε. τὸ γὰρ ἡδύ, ἔγωγε ποικίλον τι καὶ οὐκ ἁπλοῦν ἡγοῦμαι εἶναι. ἐγὼ δὲ ζῶν ἀεὶ, καὶ ἀπολαύων τῶν ὁμοίων, ἡλίου, φωτὸς, βορᾶς, αἰ ὧραι δὲ αὐταὶ, καὶ τὰ γιγνόμενα ἅπαντα ἐξῆς ἕκαστον,

ἕκαστον, ὥσπερ ἀκολουθοῦντα θατέρῳ θατέρου, ἐνεπλήσθην γοῦν αὐτῆς. ἡ γὰρ ἐν τῷ αὐτῷ ἀεὶ, ἀλλὰ καὶ ἐν τῷ μεταχειρίζειν ὅλως, τὸ τερπνὸν ἴσον. MEN. Εὖ λέγεις ὦ Χείρων. τὰ ἐν ἅδῃ δ' πῶς φέρεις, ἀφ' ἧς προελόμενος αὐτὰς ἦκεις; XEIP. Οὐκ ἀηδῶς ὦ Μένιππε. ἡ γὰρ ἰστομία, πάνυ δημοτικὸν καὶ τὸ πρᾶγμα ἅδην ἔχει τὸ διάφορον ἐν φωτὶ εἶναι, ἢ ἐν σκότῳ. ἄλλως τε, ἅδης διϕλοῦς ὥσπερ ἄνω, ὅτε πανδοκεῖον δεῖ, ἀλλ' ἀνεπιδεεῖς τούτων ἁπάντων ἐσμέν. MEN. Ὄρα ὦ Χείρων, μὴ πρεπίπληξ σεαυτῷ, καὶ ἐς τὸ αὐτό σοι ὁ λόγος πεσῇ. XEIP. Πῶς τοῦτο φῄς; MEN. Ὅτι ἐν ἅδῃ ἐν τῷ βίῳ τὸ ὅμοιον ἀεὶ καὶ ταὐτὸν ἐγένετό σοι προσκορὲς, καὶ ἐνταῦθα ὅμοια ὄντα, προσκορῆ ὁμοίως ἂν ἡγοῖτο, καὶ δεήσει μεταβολήν γε ζητεῖν τινα, καὶ ἐντεῦθεν ἐς ἄλλον βίον, ὅπερ οἶμαι ἀδιώκλον. XEIP. Τί ἔν ἂν πάθοι τις ὦ Μένιππε; MEN. Ὅπερ, οἶμαι, καὶ φασι, σωτὸν ὄντα, ἀρέσκειν καὶ ἀγαπᾶν τοῖς παροῦσι, καὶ μηδὲν αὐτῆς ἀφορητον οἴεσθαι.

Διάλογος κθ'.

Διογένης, Ἀντισθένης, καὶ Κράτητος.

ΔΙΟΓ. ΑΝτίσθενες καὶ Κράτης σχολὴν ἄγομεν. ὥστε τί οὐκ ἀπιμεν εὐθὺ τῆς καθόδου πειραλήσοντες, ὀϕόμενοι τοὺς κατιόντας οἵοι τινές εἰσι, καὶ τί ἕκαστος αὐτῆς ποιεῖ; ΑΝΤ. Ἀπίωμεν ὦ Διόγενες. καὶ γὰρ ἂν τὸ θέαμα ἡδὺ ἦν, τοὺς μὲν δακρύοντας

ουτας

ονλας αὐτῷ ὁρᾶν, πρὶν ἢ ἐκελθόντας ἀρεθλῶσαι. ἐνίους δὲ μόλις καλιόντας, καὶ ὅτι τρόχηλον ὠθουῦτος τῷ Ἑρμῇ, ὅμως ἀνλιβαίνοντας καὶ ὑπολίνας ἀνλερεῖσθονλας ἅδην λέον. ΚΡΑ. Ἐγὼ γοῦν καὶ διηγήσομαι ὑμῖν ἃ εἶδον, ὁπότε καλήκοιμι κἀγὼ πρὸς τὸν ὅδον. ΔΙΟΓ. Διήγησαι ὦ Κράτης. ἔοικας γάρ τινα παραγγελίαν ἐρεῖν. ΚΡΑΤ. Καὶ ἄλλοι μὲν πολλοὶ ξυγκαλέβαινον ἡμῖν, ἐν αὐτοῖς δ' ἐδήσημοι, Ἰσμηνόδωρός τε ὁ πλούσιος, ὁ ἡμέτερος, καὶ Ἀρσάκης ὁ Μηδίας ὕπαρχος, καὶ Ὀρσίτης ὁ Ἀρμήνιος. ὁ μὲν οὖν Ἰσμηνόδωρος, ἐπεφόνλτο γὰρ ὑπὸ λησῶν περὶ τὰ Κιθαιρῶνα, ἐς Ἐλλάδα οἶμαι βαδίζων, ἔξενέ τε, καὶ τὸ τραῦμα ἐν ταῖν χερσῖν εἶχε, καὶ τὰ παιδία τὰ νεογνὰ, ἃ κατελελοίπει, ἀνεκαλεῖτο. καὶ ἑαυτῷ ἐπεμέμφετο τῆς τόλμης, ὃς Κιθαιρῶνα ὑπερβάλλων, καὶ τὰ περὶ τὰς Ἐλλθερὰς χαρία πανέρημα ὄνλα ὑπὸ τῶν πολεμίων, λοσπάων, λύο μόνες οἰκέτας ἐπήγετο, καὶ ταῦτα, φιάλας πέντε χρυσᾶς, καὶ κυμβία τέτταρα μεθ' ἑαυτῶν ἔχων. ὁ δ' Ἀρσάκης, γηραιὸς γὰρ ἦν ἤδη. καὶ νὴ Δί' ἐκ ἄσημον τὸν ὀλίγον ἐς τὸ βαρβαρικὸν, ἤχθετο, καὶ ἡνανάκλει πεζὸς βαδίζων, καὶ ἠξίου τὸν ἵππον αὐτῷ περισχεθῆναι. καὶ γὰρ ὁ ἵππος αὐτῷ ξωστεφθήκει, μιᾷ πληγῇ ἀμφοτέρωθι διαπαρέντος ὑπὸ Θρᾳκός τινος πελτασοῦ, ἐν τῇ ὅτε τῷ Ἀράξῃ πρὸς τὸν Καπαδόκιον συμπλοκῇ. ὁ μὲν γὰρ Ἀρσάκης ἐπήλαυνεν, ὡς διηγεῖτο, πολὺ τῶν ἄλλων περιπεξορμήσας. ὑποστὰς δὲ ὁ Θρᾷξ, τῇ πέλτῃ μὲν ὑπολὺς, ἀποσείεται τὸν Ἀρσάκη κοντόν. ἔτος δὲ ὑποθεὶς τὰ σάρισαν, αὐτόν τε διαπείρει, καὶ τὸν ἵππον. ΑΝΤ. Πῶς οἱά τε, ὦ Κράτης μιᾷ πληγῇ τοῦτο γενέσθαι; ΚΡΑΤ. Ῥᾷσα ὦ Ἀνιπφένες. ὁ μὲν γὰρ ἐπήλαυνεν, εἰκοσάπηχύ τινα

τινα κόγλον προβεβλημένον. ὁ Θρᾷξ δ' ἐπειδὴ τῇ πέλτῃ ἀπεκρούσατο τὴν προσβολὴν, καὶ παρῆλθεν αὐτὸν ἡ ἀκωκὴ, ἐς γόνυ ὀκλάσας, δέχεται τῇ σαρίσῃ τὴν ἐπέλασιν, καὶ τιτ ἴσκει τὸν ἵππον ὑπὸ τὸ στέρνον, ὑπὸ θυμῷ καὶ σφοδρότητι ἑαυτὸν διαπερονᾶται, διαλαυρᾶται δὲ καὶ ὁ Ἀρσάκης ἐς τὸν βυβῶνα διαμπάξ, ἄχρις ὑπὸ τὴν πυγήν. ὀρθὸς οὐδ' ὅτι ἐγκύρσας, ἐπὶ τῷ ἀνδρὶ, ἀλλὰ τῷ ἵππῳ μᾶλλον τὸ ἔργον, ἠγανάκτει δ' ὅμως, ὁμότιμον ὢν τοῖς ἄλλοις, καὶ ἠξίου ἱππάζεσθαι κατιέναι. ὁ δὲ γε Ὀρσίτης ὁ ἰδιώτης, καὶ πάνυ ἀπαλὸς τὼ πόδε, καὶ οὐδ' ἐσάναι χαμαὶ, ὅκως βαδίζειν ἐδυνήσετο· πάσχει δ' αὐτὸ ἀτεχνῶς Μῆδοι πάντες, ἐπὴν ὑποβῶσι τοὺς ἵππους. ὥσπερ οἱ ὄνοι τοὺς ἀκανθῶν ὀπιβαίνοντες ἀκροποδητὶ, μόλις βαδίζουσιν. ὥστε ἐπεὶ καταβαλὼν ἑαυτὸν, ἔκειτο, καὶ ἀδεμιᾶς μηχανῆ ἀνίστασθαι ἤθελεν, ὁ βέλτιστος Ἑρμῆς ἀοράμενος αὐτὸν ἐκόμισεν ἄχρι πρὸς τὸ πορθμεῖον, ἐγὼ δ' ἐγέλων. ΑΝΤ. Κἀγὼ δὲ ὅτε καθῆκεν, οὐδ' ἀνέμιξα ἐμαυτὸν τοῖς ἄλλοις, ἀλλ' ἀφεὶς οἰμώζοντας αὐτοὺς, προσδραμὼν ὅπῃ τὸ πορθμεῖον, προκαλέσασθαι χώραν, ὡς ἂν ὅτι ἥδιστα πλεύσαιμι. περὶ τὸν πλοῦν δ', οἷ μὲν ἐδάκρυόν τε, καὶ ἐναυλίων. ἐγὼ δὲ μάλα ἐτερπόμην ἐν αὐτοῖς. ΔΙΟΓ. Σὺ μὲν ὦ Κρῆτες καὶ Ἀνιφένες τοιούτων ἐτύχετε ξυνοδοιπόρων. ἐμοὶ δὲ Βλεψίας τε ὁ δανειστὴς, ὁ ἐκ Πειραιῶς, καὶ Λάμπις ὁ Ἀκαρνὰν, ξεναγὸς ὤν, καὶ Δάμις ὁ πλοῦτον ἐκ Κοείνθου, συνεκατήεσαν. ὁ μὲν Δάμις ὑπὸ τῆς παιδὸς ἐκ φαρμάκων ἀποθανών. ὁ δὲ Λάμπις δι' ἔρωτα Μυρτίης τῆς ἑταίρας, ἀποσφάξας ἑαυτόν. ὁ δὲ Βλεψίας λιμῷ ἆθλιος ἐλέγετο ἀπεσκληκέναι· καὶ ἐδήλου ὠχρὸς ἐς ὑπερβολὴν, καὶ λεπτὸς ἐς τὸ ἀκριβέστατον φαινόμενος. ἐγὼ δὲ, καίπερ εἰδὼς,

ἀνέκειτον ὃν τρόπον ἀποθάνοι. εἶτα τῷ μὲν Δᾳμιᾷ αἰτιωμένῳ τὸν υἱόν, ὡς ἄδικα μέντοι ἔπαθες, ἔφην, ὦ αὐτέ, ὃς τάλαντα ἔχων ὑμῖν χίλια, καὶ τρυφῶν αὐτὸς ἐννενηκονταέτης ὢν, ὀκτωκαιδεκαέτῃ νεανίσκῳ τέτταρας ὀβολοὺς παρεῖχες. σὺ δὲ ὦ Ἀκαρνὰν (ἔστι γὰρ κακεῖνος, καὶ καλοῦτο τῇ Μυρτίῳ, τί αἰτιᾷ τὸν ἔρωτα σαυτὸν δὲ οὔ; ὃς τοὺς μὲν πολεμίους ἁπάντων ἐδέσατο, ἀλλὰ ἐπιλοιπυδρώνης ἡγωνίζετο πρὸ τῶν ἄλλων. ὑπὸ δὲ τυχόντος παιδισκαρίου, καὶ δακρύων ὀπταλέων καὶ στεναγμῶν, ἐάλως ὁ ἡρωϊκός. ὁ μὲν γὰρ Βλεψίας αὐτὸς, ἑαυτὸν καταγόρευε φθάσας πολλῶν τινῶν ἀνοιαν, ὅτι χρήματα ἐφύλαττε τοῖς μηδὲν προσήκουσι κληρονόμοις εἰς ἀεὶ βιώσεσθαι ὁ μάταιος νομίζων. πλὴν ἐμοί γε οὐ τὴν τυχοῦσαν ἔρριπτολήν παρέσχον τότε ξένοντες. ἀλλ' ἤδη μὲν ὅτε τῷ σοφῷ ἐσμῷ. ἀποβλέπειν χρὴ καὶ ἀποσκοπεῖν πόρρωθεν τοὺς ἀφικνουμένους. βαβαὶ, πολλοί γε καὶ ποικίλοι, καὶ πάντες δακρύοντες, πλὴν τῶν νεογνῶν τούτων καὶ νηπίων. ἀλλὰ καὶ οἱ πάνυ γεγηρακότες ὀδύρονται. τί τοῦτο; ἆρα τὸ φίλτρον αὐτοὺς ἔχει τοῦ βίου; τοῦτον οὖν ὑπέρτερον ἔρεσθαι βούλομαι. τί δακρύεις τηλικοῦτος ἀποθανών; τί ἀγανακτεῖς ὦ βέλτιστε, καὶ ταῦτα, γέρων ἀριθμόν; ἦπου βασιλεὺς ἦσθα; ΠΤΩ. Οὐδαμῶς. ΔΙΟΓ. Ἀλλὰ σατράπης; ΠΤΩ. Οὐδὲ τοῦτο. ΔΙΟ. Ἆρα ἦν ἐπλούτεις, εἶτα ἀνιᾷ σε τὸ πολλὴν τρυφὴν ἀπολιπόντα τεθνάναι; ΠΤΩ. Οὐδὲν τοιοῦτον. ἀλλ' ἔτι μὲν ἐγεγόνειν ἀμφὶ τὰ ἐνενήκοντα· βίον δὲ ἄπορον ἀπὸ καλάμης καὶ ὁρμιᾶς εἶχον, ἐς ὑπερβολὴν πτωχὸς ὤν, ἄτεκνός τε, καὶ πρεσβύτης χωλὸς, καὶ ἀμυδρὸν βλέπων. ΔΙΟΓ. Εἶτα τοιοῦτος ὢν, ζῆν ἤθελες; ΠΤΩ. Ναί· ἡδὺ γὰρ ἦν τὸ φῶς, καὶ

καὶ τὸ τεθνάναι δεινὸν καὶ φοβερόν. ΔΙΟΓ. Παραπαίεις ὦ γέρων, καὶ μεμηχανεύῃ πρὸς τὸ χρεὼν, καὶ ταῦτα, ἡλικιώτης ὢν τῆς σωρθμέως. τί οὖν ἄν τις λέγοι περὶ σοῦ γέρον, ὁπότε οἱ τηλικοῦτοι φιλόζωοι εἰσιν; ὃς ἐχρῆν δοκεῖν τὸν θάνατον, ὡς σοὶ ἐν τῇ γήρᾳ κακῶν φάρμακον. ἀλλ' ἀπίωμεν, μὴ καί τις ἡμᾶς ὑποδέσηται, ὡς ὑποδρᾶσαν βαλδίονας, ὀρῶν σοὶ τὸ σῶμον εἰλυμμένους.

Διάλογ☉ λ'.

Αἴαντ☉ καὶ Ἀγαμέμνον☉.

ΑΓΑΜ. Εἰ σὺ μανεὶς ὦ Αἶαν, σεαυτὸν ἐφόνευσας, ἐμελήσας δὲ καὶ ἡμᾶς ἅπαντας, τί αἰτιᾷ τὸν Ὀδυσσέα; καὶ πρώην ὅτε περισκεψάμενος αὐτὸν, ὁπότε ἥκει μαντευσόμενος, ὅτε περισῴσειν ἠξίωσας ἄνδρα συσκηνίτην, καὶ ἑταῖρον· ἀλλ' ὑπερφυῶς μεγάλα βαίνων, παρῆλθες. ΑΙΑ. Εἰκότως ὦ Ἀγάμεμνον. αὐτὸς γάρ μοι τὴν μανίαν αἰτίαν καλέσῃ, μόνον ἀντεξεταθεὶς ὅτι τοῖς ὅπλοις. ΑΓΑΜ. Ἠξίους δ' ἀναντᾳγώνιστον ἔδει, καὶ ἀκονιτὶ κρατεῖν ἁπάντων; ΑΙΑ. Ναὶ, τά γε τοιαῦτα. οἰκεία γάρ μοι λῶν ἡ πανοπλία, τῷ ἀνεψιῷ γε ὅσα. καὶ ὑμεῖς οἱ ἄλλοι πολὺ ἀμείνους ὄντες, ἀπεπαύσατε τὸν ἀγῶνα, καὶ παρεχωρήσατέ μοι τῶν ἄθλων. ὁ δὲ Λαέρτης, ὃν ἐγὼ πολλάκις ἔσωσα κινδυνεύοντα καταπεκόφθαι ὑπὸ τῶν Φρυγῶν, ἀμείνων ἠξίωται καὶ ὀπτησάτερος ἔχειν τὰ ὅπλα. ΑΓΑ. Αἰτιῶ τοιγαροῦν ὦ γύναιε τὴν Θέτιν, ἢ δέον σοι τὴν κληρονομίαν τῶν ὅπλων παρα-

δηλόναι συζῆμεῖ γε ὄντι, φέρεσα, ἐς τὸ κοινὸν κατέθετο αὐτά. ΑΙΑ. Οὔκ. ἀλλὰ τὸν Ὀδυσέα, ὃς ἀντεποιήθη μόνος. ΑΓΑΜ. Συγγνώμη ὦ Αἴαν, εἰ ἄνθρωπος ὢν, ὠρέχθη δόξης ἢ δίκης παράγματος, ὑπὲρ ἧς καὶ ἡμῖν ἔκας κινδυνεύειν ἀναμένει, ἐπεὶ καὶ ἐκρέτησέ σε, καὶ ταῦτα παρὰ Τρωσὶ δικασαῖς. ΑΙΑ. Οἶδα ἐγὼ, ἥτις με κατεδίκασεν, ἀλλ' ὁ δῆμος λέγει τι περὶ ἡμῶν. ἢ γὴν Ὀδυσέα μὴ ἔχει μισεῖν ἐκ ἂν δικαίως, ὦ Ἀγάμεμνον, εἰ αὐτή μοι Ἀθηνᾶ τοῦτο ὑπετάττοι.

Διάλογος λά.

Μίνωος καὶ Σωκράτε.

ΜΙΝ. Ὁμῶς λῆρος ἔτος Σώκρατος ἐς τὸν Πυριφλεγέθοντα ἐμβεβλήσθω. ὁ δ' ἱερόσυλος ὑπὸ τῆς Χιμαίρας διαπαπτάτω. ὁ δὲ τύραννος, ὦ Ἑρμῆ, παρὰ τὸν Τιτυὸν ὑποπλαθεὶς, ὑπὸ τῶν γυπῶν κειρέσθω καὶ αὐτὸς τὸ ἧπαρ. ὑμεῖς δὲ οἱ ἀγαθοὶ ἅπαξ καὶ τάχος ἐς τὸ Ἠλύσιον πεδίον, καὶ ταῖς μακάρων νήσοις κατοικεῖτε· ἀνθ' ὧν δίκαια ἐποιεῖτε παρὰ τὸν βίον. ΣΩΣΤ. Ἄκουσον ὦ Μίνως, εἴ σοι δίκαια δόξω λέγειν. ΜΙΝ. Νῶν ἀκούσω αὖθις. ἐ γὰρ ἐξελήλεγξαι ὦ Σώκρατε πονηρὸς ὤν, καὶ τοσούτους ἀπεκτονώς; ΣΩΣ. Ἐλήλεγμαι μὲν, ἀλλ' ὅρα, εἰ δικαίως κολασθήσομαι. ΜΙΝ. Καὶ πάνυ, εἴγε ὁτιοῦν τιμῆ ἀξίαν δίκαιον. ΣΩΣ. Ὅμως ὑπόκειταί μοι ὦ Μίνως. βραχὺ γάρ τι ἐρήσομαί σε. ΜΙΝ. Λέγε μὴ μακρὰ μόνον, ὅπως μὴ πρὸ ἄλλης διακεινώμεθα ἡμῖν. ΣΩΣ. Ὁπόσους ἔκτεινον ἐν τῷ βίῳ, πότερα ἐκὼν ἔκτεινον

πρᾶτον, ἢ ἐπεκέκλωστό μοι ὑπὸ τῆς μοίρας; ΜΙΝ. Ὑπὸ τῆς μοίρας δηλαδή. ΣΩΣΤΡΑ. Οὐκοῦν καὶ οἱ χρηστοὶ ἅπαντες, ϗ οἱ πονηροὶ δοκοῦντες ἡμεῖς, ἐκείνῃ ὑπηρετοῦντες, ταῦτα δρῶμεν; ΜΙΝ. Ναὶ, τῆς Κλωθοῦς ἡ ἑκάστῳ ἐπέταξε ξυνηθέστατα τὰ πρακτέα. ΣΩΣ. Εἰ οὖν τις ἀναγκασθείη ὑπ' ἄλλου φονεύσαί τινα, ἢ δικαίως ἀνθιλέξειν ἐκείνῳ βιαζόμενος, οἷος δήμιος ἢ δορυφόρος, ὁ μὲν δικαίως πράξει, ὁ δὲ τυράννου, τίνα αἰτιάσηται τῆς φόνου; ΜΙΝ. Δῆλον ὡς τὸν δικάσαντα ἢ τὸν τύραννον, ἐπεὶ καὶ τὸ ξίφος αὐτό. ὑπηρετεῖ γὰρ τοῦτο ὄργανον ὂν πρὸς τὸν θυμὸν, τοῦ πρώτως πραγόντος τὴν αἰτίαν. ΣΩΣΤ. Εὖγε ὦ Μίνως, ὅτι ϗ ὀπισθαφυλάκη τοῦ παραδείγματι. Ἰὼ δέ τις ὑποστείλαιτο τὸ δικαστήριον, ἤκιστα αὐτὸς χρυσὸν ἢ ἄργυρον νομίζων, τίνι τρόπῳ χάριν ἴσον, ἢ τίνα εὐεργέτην ἀναχαριστέον; ΜΙΝ. Τὸν πέμψαντα ὦ Σώκρατες. δῆλον γὰρ ὁ νομίσας ἰὼ. ΣΩΣ. Οὐκοῦν ὁρᾷς, πῶς ἄδικα ποιεῖς κολάζων ἡμᾶς ὑφήτας ϗμοσμένους, ὧν ἡ Κλωθὼ προσέταττε, ϗ τύτους τιμᾷς τοὺς δικονησαμένους ἀλλοτρίοις ἀγαθοῖς; ἃ γὰρ δὴ ἐκεῖνο εἰπεῖν ἔχοι τις ἂν, ὡς ἀνθιλέγειν δικαίως ἰὼ, τοῖς μὴ πάσης ἀνάγκης πρεσβυτέραις. ΜΙΝ. Ὦ Σώκρατες πολλὰ ἴσθοις ἂν ϗ ἄλλα ἃ κατὰ λόγον γινόμενα, εἰ ἀκριβῶς ἐξελάζοις. πλὴν ἀλλὰ σὺ τοῦτο ὑπολαύσεις τῆς ἐπωφελήσεως. δίοτι ἃ λῃστὴς μόνον, ἀλλὰ ϗ σοφιστής τις εἶ δοκεῖς. ὑπόλυσον αὖ τὸν ὦ Ἑρμῆ, ϗ μηκέτι κολαζέσθω. ὅρα δὲ, μὴ ϗ τοὺς ἄλλους νεκροὺς ἐρωτᾶν τὰ ὅμοια διδάξῃς.

Διάλογος λϛ'.

Μένιππος ἢ Νεκυομαντεία.

ΜΕΝΙΠΠΟΣ, ΦΙΛΩΝΙΔΗΣ.

Ω χαῖρε μέλαθρον, πρόπυλά θ' ἑστίας ἐμῆς.
Ὡς ἄσμενός σ' ἐσεῖδον, ἐς φάος μολών.

ΦΙΛΩΝ. Οὐ Μένιππος ἔτός ἐστιν ὁ Κύων; ἐμοὶ γὰρ ἄλλος, εἰ μὴ ἐγὼ παραβλέπω Μενίππους ὅλους. τί δ' αὐτῷ βάλεσθαι τὸ ἀλλόκοτον τοῦτο σχῆμα; πῖλος καὶ λύρα καὶ λεοντῆ; προσιτέον ἢ ὅμως αὐτῷ. Χαῖρε ὦ Μένιππε. καὶ πόθεν ἡμῖν ἀφῖξαι; πολλὼ γὰρ χρόνον ἀπέφηνας ἐν τῇ πόλει. ΜΕΝ.

Ἥκω νεκρῶν καθυμνῶν, καὶ σκότου πύλας λιπών,
Ἵν' ἀδὴς χωρὶς ὤκισαι θεῶν.

ΦΙΛ. Ἡρακλῆς. ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανών, κἀτ' ἐξ ὑπαρχῆς ἀναβεβίωκεν; ΜΕΝΙΠ.

Οὔκ. ἀλλ' ἔτ' ἔμπνουν αἰδὴς μ' ἐδίδαξε.

ΦΙΛ. Τίς δ' ἡ αἰτία σοι τῆς καινῆς καὶ παραδόξου ταύτης ἀποδημίας; ΜΕΝ.

Νεότης μ' ἐπῆρε, καὶ θράσος νεῶν πλέον.

ΦΙΛ. Παῦσαι μακάρτε γαγγαμῶν, καὶ λέγε ὑτοσὶ πῶς ἁπλῶς κλαπεὶς ἀπὸ τῆς Ἰαμβείων. τίς ἡ σχολή; τί σοι τῆς κάτω πορείας ἐλλέπσεν; ἄλλως γὰρ οὐχ ἡδεῖά τις, οὐδὲ ἀπαισία ἡ ὁδός. ΜΕΝ.

Ὦ φιλότης, χρῄζω με καλήσαντα εἰς ἅιδαο,
Ψυχὴν χρησόμενον Θηβαίου Τειρεσίαο.

ΦΙΛ. Οὕτως; ἀλλ' ἢ παραπαίεις. οὐ γὰρ ἂν ἔτως ἐμμέλως ἐρρᾳῳδεις πρὸς ἄνδρας φίλους. ΜΕΝΙΠ. Μὴ θαυμάσῃς ὦ ἑταῖρε νεωστὶ

νευσὶ γὰρ Εὐριπίδῃ καὶ Ὁμήρῳ συγγυόμενος, οὐκ οἶδ' ὅπως ἀνεπλήσθη τῆς ἐπῶν, καὶ αὐτόματά μοι τὰ μέτρα ὑπὸ τὸ στόμα ἔρχεται. ἀτὰρ εἰπέ μοι, πῶς τὰ ὑπὲρ γῆς ἔχει, καὶ τί ποιοῦσιν ἐν τῇ πόλει; ΦΙΛ. Καινὰ οὐδέν, ἀλλ' οἷα καὶ πρὸ τοῦ, ἁρπάζουσιν, ὀπορκοῦσι, τοκογλυφοῦσιν, ὀβολοστατοῦσιν. ΜΕΝ. Ἄθλιοι καὶ κακοδαίμονες. ἃ γὰρ ἴσασιν, οἷα ἔναγχος κεκύρωται παρὰ τοῖς κάτω, καὶ οἷα κεχειροτόνηται τὰ ψηφίσματα κατ' αὐτῶν πλησίον, ἅμα τὸν Κέρβερον, ἐδεμία μηχανῇ τοῦ διαφυγεῖν αὐτούς. ΦΙΛ. Τί φῄς; δεδογμά τι νεώτερον τοῖς κάτω περὶ τῶν ἐνθάδε; ΜΕΝ. Νὴ Δία καὶ πολλά· ἀλλ' ἃ θέμις ἐκφέρειν αὐτὰ πρὸς ἅπαντας, ἃ δὲ τὰ ὑποῤῥητα ἐξαγορεύειν, μὴ καί τις ἡμᾶς γράψηται γραφὴν ἀσεβείας ὅτι τοῦ Ῥαδαμάνθυος. ΦΙΛ. Μαδαμῶς ὦ Μένιππε πρὸς τοῦ Διός, μὴ φθονήσῃς τῶν λόγων φίλῳ ἀνδρί. πρὸς γὰρ εἰδότα σιωπᾶν ἐρεῖς ταῦτ' ἄλλα, καὶ πρὸς μεμνημένον. ΜΕΝ. Χαλεπὸν μὲν ὑπακοῦσαι τοῖς ἐπιτάγμασι, καὶ ἀσφαλές. πλὴν ἀλλὰ σοῦ γε ἕνεκα τολμητέον. ἔδοξε δὴ τοῦ πλησίος τύπτειν καὶ πολυχρημάτους, καὶ τὸ χρυσίον κατακλεῖσαι, ὥσπερ τὴν Δανάην φυλάττοντας——

2. ΦΙΛ. Μὴ πρότερον εἴπῃς ὦ ἀγαθὲ τὰ δεδογμένα, πρὶν ἐκεῖνα διελθεῖν, ἃ μάλιστ' ἂν ἥδέως ἀκούσαιμί σου. ἥτις αἰτία σοι τῆς καθόδου ἐγένετο, τίς ὁ τῆς πορείας ἡγεμών. εἶθ' ἑξῆς ἄττα εἶδες, ἄττα ἤκουσας παρ' αὐτοῖς. εἰκὸς γὰρ δὴ φιλόκαλον ὄντα σε, μηδὲν ἧττον ἀξίων θέας ἢ ἀκοῆς παραλιπεῖν. ΜΕΝ. Ὑπουργητέον καὶ ταῦτά σοι. τί γὰρ ἂν καὶ πάθοιτις, ὁπότε φίλου ἀνὴρ βιάζοιτο; καὶ δὴ πρῶτά σοι δίδωμι τὴν γνώμην τὴν ἐ-

μιλῶ, καὶ ὅθεν ὡρμήθην πρὸς τὴν κατάβασιν. ἐγὼ γὰρ ἄχρι μὲν ἐν πᾶσιν ἦν ἀκόων Ὁμήρου καὶ Ἡσιόδου πολέμους καὶ στάσεις διηγουμένων, ὑμνούντων μόνον τὴν ἡμιθέων. ἀλλὰ καὶ αὐτὴν ἤδη τὴν θεῶν, ἔτι δὲ καὶ μοιχείας αὐτῶν, καὶ βίας, καὶ ἁρπαγάς, καὶ δίκας, καὶ πατέρων ἐξελάσεις, καὶ ἀδελφῶν γάμους, πάντα ταῦτα ἡγέμην ἔτι καλά, καὶ ὑπερέργως ἐπῃνέμην πρὸς αὐτά. ἐπεὶ δὲ εἰς ἄνδρας τελεῖν ἠρξάμην, πάλιν ἐνταῦθα ἤκουον τῶν νόμων τἀναντία τοῖς ποιηταῖς κελευόντων μήτε μοιχᾶσθαι, μήτε στασιάζειν, μήτε ἁρπάζειν. ἐν μεγάλῃ δ' ἦν καθειστήκειν ἀμφιβολίᾳ, οὐκ εἰδὼς ὅτι χρηστέον ἐμαυτῷ, ὅτε μὲν τοῖς θεοῖς ἄνω ποτὲ ἡγέμην μοιχεύσαι, καὶ στασιάσαι πρὸς ἀλλήλους, εἰ μὴ ὡς δεῖ καλῶν τούτων ἐγίνωσκον, ὅτ' ἂν τοὺς νομοθέτας τἀναντία τούτοις παραινεῖν, εἰ μὴ λυσιτελεῖν ὑπελάμβανον.

3. Ἐπεὶ δὲ διαπόρουν, ἔδοξέ μοι ἐλθόντα παρὰ τοὺς καλουμένους τούτους φιλοσόφους, ἐγχειρεῖσαι τε ἐμαυτὸν καὶ διηθλῶσαι αὐτῶν χρῆσθαί μοι, ὅτι βέλοιντο, καὶ τίνα ὁδὸν ἁπλῶ καὶ βεβαίαν ὑποδεῖξαι τῷ βίῳ. ταῦτα μὲν δὴ φρονῶν προσῄειν αὐτοῖς. ἐλελήθειν δ' ἐμαυτὸν εἰς αὐτὸ, φασὶ, τὸ πῦρ ἐκ τῆς καπνᾶς βιαζόμενος. παρὰ μὲν δὴ τούτοις μάλιστα ἔυρισκον ὑπισκουμένους τὴν ἀγνοίαν καὶ τὴν ἀπειρίαν πλείονα ὥστε μοι τάχιστα χρυσοῦν ἀπέδειξαν ὅτι τὸν τῆς ἰδιωτικῆς βίον ἀμείλει, ὁ μὲν αὐτῆς παρήνει τὸ πᾶν ἥδεσθαι, καὶ μόνον τοῦτο ἐκ παντὸς μελιέναι. τοῦτο γὰρ ἔφη τὸ εὐδαιμον. ὁ δὲ τις ἔμπαλιν, πονεῖν τὰ πάντα, καὶ μοχθεῖν, καὶ τὸ σῶμα καταναγκάζειν, ῥυπῶντα καὶ αὐχμῶντα, καὶ πᾶσι δυσαρεστοῦντα, καὶ λοιδορούμενον, σωρὸς ὑπορράπτων τὰ σάνδαλα ἐκεῖνα τῷ Ἡσιόδῳ δεῖ τῆς ἀρετῆς ἔπη, καὶ τὸν ἱδρῶτα, καὶ

καὶ τοῦτο ὅτι τὸ ἄκρον ἀνάβασιν ἄλλος καταφρονεῖν χρημάτων παρεκελεύετο, καὶ ἀδιάφορον εἶεσθαι τοῦ κτᾶσθαι αὐτά. ὁ δέ τις αὖ πάσιν ἀγαθὸν ἦν καὶ τὸν πλοῦτον αὐτὸν ἀπεφαίνετο. τί μὲν γὰρ τῷ κόσμῳ τί χρὴ καὶ λέγειν; ὃς γε ἰδέας, καὶ ἀσώματα, καὶ ἀτόμους, καὶ κενά, καὶ τοιοῦτόν τινα ὄχλον ὀνομάτων ὑσημέραι παρ' αὐτοῦ ἤκουον ἐναντίων, καὶ τὸ πάντων δεινῶν ἀτοπώτατον, ὅτι τοῖς αὐτοῖς ἐναντιωτάτων ἔκας αὐτῶν λέγων. σφόδρα νικᾶν τε καὶ πιθανὸς λόγους ἐποιεῖτο, ὥστε μήτε τὸ θερμὸν τὸ αὐτὸ ποιοῦν λέγοντι, μήτε τὸ ψυχρὸν, ἀντιλέγειν ἔχειν, καὶ ταῦτα εἰδότα σαφῶς, ὡς οὐκ ἂν ποτε θερμόν τι εἴη καὶ ψυχρὸν ἐν ταὐτῷ χρόνῳ. ἀτεχνῶς οὖν ἔπασχον τοῖς νυσταζουσι τοῦτοις ὅμοιον, ἄρτι μὲν ὀπνοῦων, ἄρτι δ', ἀναναδέων ἔμπαλιν. ἔτι δὲ πολλῷ τοῦτο ἐκείνων ἀτοπώτερον, τοὺς γοῦν αὐτοὺς τούτους ἔνιοτε ὁρῶν, ἐναντιώτατα τοῖς αὐτῶν λόγοις βιοῦντας. τοὺς γοῦν καταφρονεῖν παραινοῦντας χρημάτων, ἐώρων ἀπειξ ἐχομένους αὐτῶν, καὶ τὸν θάνατον διαφεύγοντας, καὶ ὅτι μισθῷ παιδεύοντας, καὶ πάντα ἕνεκα τούτων ὑπομένοντας τάς τε τιμὰς δόξαν ὑποβαλλομένους, αὐτῆς ἕνεκα πάντα ὁρῶντας πεπαιδευόντας. ἡδονῆς τε αὖ χεδὸν ἅπαντας καταγελῶντας, ἰδίᾳ δὲ μόνη ταύτῃ προσηρτημένους. σφαλεὶς οὖν καὶ ταύτης τῆς ἐλπίδος, ἔτι μᾶλλον ἐδυσχέραινον, ἡρέμα παραμυθούμενος ἐμαυτόν, ὅτι μετὰ πολλῶν καὶ σοφῶν, καὶ σφόδρα ὅτι σωφρόνων διατεθησομένων ἀνόητός τε εἰμι, καὶ ταλησθὲς ἔτι ἀγνοῶν περιέρχομαι.

4. Καὶ μοί ποτε διαλογιζομένῳ τούτων ἕνεκα ἔδοξεν εἰς Βαβυλῶνα ἐλθόντα, συνθηράσαι τινὶ τῶν μάγων, τῶν Ζωροάστρου μαθητῶν καὶ

διαδόχων. ἦκον δ' αὐτοὺς ἐπῳδαῖς τε καὶ τελεταῖς τισιν ἀνοίγειν τε τῆς ᾅδου τὰς πύλας, καὶ κατάγειν ὃν ἂν βούλωνται ἀσφαλῶς καὶ ὀπίσω αὖθις ἀναπέμπειν. ἄριστον ἦν ἡγούμενόν τινα ἔχειν, παρὰ τινος τούτων διαπεπραγμένον τὴν κατάβασιν, ἐλθόντα παρὰ Τειρεσίαν τὸν Βοιώτιον, μαθεῖν παρ' αὐτοῦ, ἅτε μάντεως καὶ σοφοῦ, τίς ὅδε ἐστὶν ὁ ἄδικος βίος, καὶ ὃν ἂν τις ἕλοιτο εὖ φρονῶν. καὶ δὴ ἀναπηδήσας ὡς εἶχον τάχους, ἔθεον ἐπὶ Βαβυλῶνος. ἐλθὼν δέ, συγγίνομαί τινι τῶν Χαλδαίων σοφῷ ἀνδρὶ καὶ θεσπεσίῳ τὴν τέχνην, πολιῷ μὲν τὴν κόμην, γλαύκιον δὲ μάλα σεμνὸν καθεζόμενον, τέγομα δὲ ἦν αὐτῷ Μιθροβαρζάνης. δεηθεὶς δὲ καὶ θικέλευσας, μόλις ἔτυχον παρ' αὐτοῦ ἐφ' ὅτῳ βούλοιτο μισθῷ καθηγήσασθαί μοι τῆς ὁδοῦ. παρακαλέσας δέ με ὁ ἀνὴρ, πρῶτα μὲν ἡμέρας ἐννέα καὶ εἴκοσιν ἅμα τῇ σελήνῃ ἀρξάμενον ἔλουε, κατάγων ὅτι τὸν Εὐφράτην, ἔπειθεν πρὸς ἀνατολὰς ἅμα τῷ ἡλίῳ, ῥῖπόν τινα μακρὸν ὁπλέγων, ἧς ἡ σφόδρα κατήκουν. ὥσπερ γὰρ οἱ φαῦλοι τῶν ἐν τοῖς ἀγῶσι κηρύκων, ὁπόταν ἔχόν τι καὶ ἐκ ἀσφαλὲς ἐφθέγγετο, πολὺ ἀλλ' ἐώκει γέ τινας ὑποκαλεῖσθαι δαίμονας. μὴ γὰρ τὴν ἐπῳδὴν βίς ἂν μὲ πρὸς τὸ πρόσωπον ὑποπτύσας, ἐπανίοι πάλιν, ἵνα μὴ πάντων περισβλέπων καὶ στίφ μὴ ἡμῖν τὰ ἀκρόδρυα, ποτὸν δὲ γάλα, καὶ μελίκρατον, καὶ τὸ τῆς Χοάσπου ὕδωρ. ἐννὴ δὲ ὑπαίθειος ὁπὸ τῆς πόας. ἐπεὶ δὲ ἄλις εἶχε τῆς περιαστήσεως περὶ μέσας νύκτας ὁπὸ τὸν Τίγρητα ποταμὸν ἀγαγὼν, ἐκάθηρέ τέ με καὶ ἀνέμαξε, καὶ περιήγνισε δαδὶ καὶ σκίλλῃ, καὶ ἄλλοις πλείοσιν, ἅμα καὶ τὴν ἐπῳδὴν ἐκείνην ὑποτορθορύσας. εἶτα ὅλον με καταμαγεύσας, καὶ περιελθών, ἵνα μὴ βλαπτοίμην ὑπὸ τῶν φαντασμάτων,

τασμάτων, ἐπανάγει ἐς τὴν οἰκίαν, ὡς εἶχον ἀναποδίζοντα. καὶ τὸ λοιπὸν ἀμφὶ πλοῶ εἴχομεν. αὐτὸς μὲν ἦν μαγικήν τιν' ἔδωλος, τὰ πολλὰ ἐοικυῖαν τῇ Μηδικῇ. ἐμὲ δὲ τυτοισὶ φέρων ἐπεσκάλιζε τῷ πίλῳ καὶ τῇ λεοντῇ, καὶ περσέτι τῇ λύρᾳ, καὶ παρεκελεύσατο, ἢν τις ἔρηταί με τυνομα, Μένιππον μηδὲ μὴ λέγειν, Ἡρακλέα δὲ ἢ Ὀδυσσέα ἢ Ὀρφέα. ΦΙΛ. Ὡς δὲ τι τῦτο ὦ Μένιππε; ἐγὼ σωίημι τὴν αἰτίαν ἔτε τῦ χήματος, ἔτε τῶν ὀνομάτων. ΜΕΝ. Καὶ μλὼ περόηλόν γε τῦτο. καὶ ὃ πανλελῶς ἀπόῤῥητον. ἐπεὶ γὸ ἔτοι περὶ ἡμῶν ζῶντες ἐς ἅδ ἐκαλελπλύθεσαν, ἠγεῖτο, εἰ με ἀπεικάσειεν αὐτοῖς, ῥᾳδίως ἂν τὴν τῦ Αἰακῦ φρυρὰν διαλαθεῖν, καὶ ἀκολύτως παρελθεῖν, ἅτε σωηθέστερον τεχνικῶς μάλα παραπεμπόμενον ὑπὸ τῦ χήματος.

5. Ἤδη δ' ἦν ὑπέφαυνεν ἡμέρα, καὶ κατελθόντες ὅπι τὸν ποτομὸν, περὶ ἀναγωγὴν ἐμηχνόμεθα. παρεσκεύαζο δ' αὐτῷ καὶ σκάφος, καὶ ἱερεῖα, καὶ μελίκρατα, καὶ αλλα ὅσα πρὸς τὴν τελεπὴν χρήσιμα. ἐμβαλόμενοι δ' ἦν ἅπαντα τὰ παρεσκευασμένα, ἔτω δὴ καὶ αὐτοὶ

Βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.

Καὶ μέχρι μέν τινος ὑπερεφερόμεθα ἐν τῷ ποταμῷ· ἔπα δ' ἐσεπλεύσαμεν ἐς τὸ ἕλος καὶ τὴν λίμνλν, ἐς ἣν ὁ Εὐφράτης ἀφανίζεται. φανισθέντες δὲ καὶ ταύτλν, ἀφικνύμεθα ἔς τι χωρίον ἔρημον καὶ ὑλῶδες, καὶ ἀνήλιον. ἐς ὃ ἀποβάντες (ἦγεῖτο δὲ ὁ Μιθροβαρζάνης) βόθρον τε ὠρυξάμεθα, καὶ τὰ μῆλα ἐσφάξαμεν, καὶ τὸ αἷμα περὶ τὸν βόθρον ἐπείσαμεν. ὁ δὲ μάγος ἐν τοσύτῳ δεῖδα καιομένλν ἔχων, καὶ ἔτ' ἠρεμίᾳ τῇ φωνῇ, παμμέτρως δὲ ὡς οἷός τε ἦν

λῶν ἀνακρεχῶν, δαίμοναί τε ὁμοῦ πάντας ὀπιθοδόμους καὶ ποιναὶ καὶ ἐρινύες, καὶ νυχίαν Ἑκάτην καὶ αὐτεντίλων Περσεφόνειαν, παραμιγνὺς ἅμα βαρβαρικά τινα καὶ ἄσημα ὀνόματα καὶ πολυσύλλαβα. ἐνθὺς οὖν πάντα ἐκεῖνα ἐσαλεύετο, καὶ ὑπὸ τῆς ἐπῳδῆς τὸ ἄδυτον ἀνερρήγνυτο, καὶ ἡ ὑλακὴ τοῦ Κερβέρου παρέρρωδεν ἠκούετο, καὶ τὸ πρᾶγμα ὑποπάτητος ἦν καὶ σκυθρωπόν.

Ἐσείετο δ' ὑπενερθεν ἄναξ ἐνέρων αἰδωνεύς.
Καὶ φαίνετο ἤδη τὰ πλεῖστα, καὶ ἡ λίμνη, καὶ ὁ Πυριφλεγέθων, καὶ τὰ Πλούτωνος τὰ βασίλεια. καλεῖ δ' ὅμως διὰ τοῦ χάσματος, τὸν μὲν Ῥαδάμανθυν ἑωρακὼς τεθνεῶτα μικρὸν δεῖν ὑπὸ τοῦ δέους. ὁ δὲ Κέρβερος ὑλάκησε μὲν τοι, καὶ παρεκίνησε. ταχὺ δέ με κρύσαντος τῷ λύχνῳ, παραχρῆμα ἐκοιμήθη ὑπὸ τοῦ μέθυος. ἐπεὶ δὲ πρὸς τὸν λίμνην ἤλθομεν, μικροῦ μὲν ὧδ' ἐπεραιώθημεν, ὡς δὲ ἤδη πλῆρες τὸ πορθμεῖον, καὶ οἰμωγῆς ἀνάπλεων. βαυματίαι δὲ πάντες ἐπέπλεον, ὁ μὲν τὸ σκέλος, ὁ δὲ τὴν κεφαλήν, ὁ δὲ ἄλλο τι ζωτερημένος. ἐμοὶ δοκεῖν ἔκ τινος πολέμου παρόντες. ὅμως δ' οὖν ὁ βέλτιστος Χάρων, ὡς εἶδε τὸν λεοντῆν, οἰηθεὶς με τὸν Ἡρακλέα εἶναι ἐπεδέξατό με καὶ διεπόρθμευσέ τε ἀσμένως, καὶ ὑποβᾶσι διεσήμαινε τὴν ἀβαπτίν.

6. Ἐπεὶ δὲ ἦμεν ἐν τῷ σκότῳ, πρόϊμεν μὲν ὁ Μιθρεβαρζάνης, ἐπόμην δ' ἐγὼ καλόπιν ἐχόμενος αὐτοῦ, ἕως πρὸς λειμῶνα μέγιστον ἀφικνούμεθα τοῦ ἀσφοδέλου καλαφύλου, ἔνθα δὴ ταῦτα ἐπέτοντο ἡμᾶς τερατεύεσθαι τὰς νεκρῶν αἱ σκιαί. κατ' ὀλίγον δὲ προϊόντες, παρεγενόμεθα πρὸς τὸ τοῦ Μίνω δικαστήριον, ἐτύγχανε δὲ ὁ μὲν ὀπὶ θρόνου τινὸς ὑψηλοῦ καθήμενος. παρειστήκεισαν δὲ αὐτῷ ποιναὶ καὶ ἀλάστορες, καὶ ἐρινύες. ἐτέρωθεν δὲ προσήγοντο πολλοί τινες ἐφεξῆς ἀλύσει

λύσῃ μακρᾷ δεδεμένοι. ἐλέγοντο δ' ἔτι μοιχοὶ καὶ πορνοβοσκοὶ, καὶ τελῶναι, καὶ κόλακες, καὶ συκοφάνται, καὶ τοιοῦτος ὅμιλος πᾶς πάντα κυκώντων ἐν τῷ βίῳ. χωλοὶ δ' οἵτε πλούσιοι καὶ τοκογλύφοι παρῆσαν, ὠχροὶ, καὶ περγάσορες, καὶ ποδαγροὶ, κλοιὸν ἕκαστος αὐτῶν καὶ κόρακα μόλυβδον ὀπικείμενος. ἐφεζῶτες δὲ ἡμεῖς, ἐωρῶμέν τε τὰ γιγνόμενα, καὶ ἠκούομεν τῶν ἀπολογουμένων. κατηγόρει δ' αὐτῶν καινοί τινες καὶ παράδοξοι ῥήτορες. ΦΙΛ. Τίνες δῆτοι πρὸς Διός; μὴ γὰρ ὀκνήσῃς καὶ τοῦτο εἰπεῖν. ΜΕΝ. Οἶσθά που ταυτασὶ τὰς πρὸς τῷ ἥλιον ἀποτελουμένας σκιὰς ὑπὸ τῶν σωμάτων; ΦΙΛ. Πάνυ μὲν οὖν. ΜΕΝ. Αὗται τοίνυν ἐπειδὰν ἀποθάνωμεν, καὶ κατορυχθῶσί τε καὶ καταμαρτυρηθῶσι καὶ διελέγχωσι τὰ πεπραγμένα ἡμῖν παρὰ τὸν βίον, καὶ σφόδρα τινὲς αὐτῶν ἀξιόπιστοι δοκοῦσιν, ἅτε ἀεὶ σωθῆσαι, καὶ μηδέποτε ἀφισάμενοι τῶν σωμάτων. ὁ δὲ Μίνως ὀπιμελῶς ἐξελάζων ἀπέπεμπεν ἕκαστον ἐς τὸ ἀσεβῶν χῶρον, δίκλινα ὑφέξοντα καὶ ἀξίαν τῶν τετολμημένων, καὶ μάλιστα ἐκείνων ἥπτετο τῶν ὅτι πλούτοις τε καὶ ἀρχαῖς τετυφωμένων, καὶ μονονουχὶ καὶ περιτκωπτόντων. τιμωρίαν τε ὀλιγοχρόνιον ἀλαζωνείαν αὐτῶν, καὶ τὴν ὑπερφίαν μυκτηρόμενος, καὶ ὅτι μὴ ἐμέμνηντο, θνητοί τε ὄντες αὐτοὶ, καὶ θνητῶν ἀγαθῶν τετυχηκότες. οἱ δ' ἀποδυσάμενοι τὰ λαμπρὰ ἐκεῖνα πάντα, πλοῦτον λέγω, καὶ δυναστείας, γυμνοὶ κάτω νεκυδριτες, παρῆσαν, ὥσπερ τινὰ ὄνειρον ἀναπεμπαζόμενοι τὴν παρ' ἡμῖν εὐδαιμονίαν, ὥστε ἔγωγε ταῦθ' ὁρῶν, ἐπεχάρην. καὶ εἴ τινα γνωείσαιμι αὐτῶν, περιῆν ἂν ἡσυχῇ πως ἐπεμίμνησκον, οἷος ἦν παρὰ τὸν βίον, καὶ ἡλίκον ἐφύσα τότε, ἡνίκα πολλοὶ μὲν ἔωθεν ὑπὸ τὰς πρωθύρους παρῆσαν, τὴν πρόοδον αὐτοῦ προμένοντες, ὠθούμενοί τε καὶ ἀποκλειόμενοι πρὸς τῶν οἰκετῶν.

οἰκετῶν. ὁ δὲ μόγις ἂν πόλε ἀναλείλας αὐτοῖς πορφυρᾶς τις, ἢ χρυσοῦς ἢ διαποίκιλος, εὐδαίμονας ᾤετο καὶ μακαρίους ἀποφαίνειν τοὺς προσιόντας, ἢν τὸ σῶμα ἢ τὴν δεξιὰν προβείνων δοίη καλαφιλεῖν. ἐκεῖνοι μὲν οὖν ἡνιῶντο ἀκούοντες.

7. Τῷ δὲ Μίνωϊ μία τις καὶ πρὸς χάειν ἐδικάσθη δίκη τὸν γάρ τοι Σικελιώτην Διονύσιον, πολλὰ καὶ ἀνόσια ὑπό τε Δίωνος κατηγορηθέντα, καὶ ὑπὸ τῆς σοᾶς καταμαρτυρηθέντα παρελθὼν Ἀεισιππος ὁ Κυρηναῖος (ἄγυσι δ' αὐτὸν ἐν τιμῇ, καὶ δικάσαι μέγιστον ἐν τοῖς κάτω) μικρὰ δεῖν τῇ χιμαίρᾳ προσδεθέντα, παρέλυσε τῆς καταδίκης, λέγων πολλοῖς αὐτὸν ἅμα πεπαιδαμμένον πρὸς ἀρχαῖον γεγενῆσθαι δεξιόν. ἀποστάντες δὲ ὅμως τὸ δικαστήριον πρὸς τὸ κολαστήριον ἀφικνούμεθα. ἔνθα δὴ ὦ φίλε πολλὰ καὶ ἐλεεινὰ ἰδεῖν ἀνῆκεν τε καὶ ἰδεῖν. μαστίγων τε γὰρ ὁμοῦ φόβος ἠκούετο, καὶ οἰμωγὴ ἅμα ὅτε τῶν πυρὸς ὀπτωμένων, καὶ χρέβλαι, καὶ κύτωνες, καὶ βοχοί, καὶ ἡ χίμαιρα ἐπαράσσετο, καὶ ὁ Κέρβερος ἐβαρβάριζε, ἐκολάζοντό τε ἅμα πάντες, βασιλεῖς, δοῦλοι, σατράπαι, πένητες, πλούσιοι, πλωτοί· καὶ μετεμέλετο πᾶσι τῶν τετολμημένων. ἐνίοις δὲ αὐτῶν καὶ ἐγνωείσαμεν ἰδόντες ὁπόσοι ἦσαν ἐν Ἅιδου ἔναγχος τελευτηκότων. οἱ δὲ ἐνεκαλύπτοντο καὶ ἀπεστρέφοντο. εἰ δὲ καὶ προσβλέποιεν, μάλα δηλοπρεπές τι καὶ κολακευτικόν. καὶ ταῦτα, πῶς οἴει, βαρεῖς ὄντες, καὶ ὑπερύπλαι παρὰ τὸν βίον; τοῖς μὲν τοι πένησιν ἡμιλέλεια τῶν κακῶν ἐδέδοτο, καὶ διαναπαυόμενοι πάλιν ἐκολάζοντο.

8. Καὶ μὴν κἀκεῖνα εἶδον τὰ μυθώδη, τὸν Ἰξίονα, καὶ τὸν Σίσυφον, καὶ τὸν Φρύγα Τάνταλον χαλεπῶς ἔχοντα, καὶ τὴν γυναῖκα Τιτυόν. Ἡρακλῆς ὅσος, ἔκειτο γὰρ τόπον ἐπέχων

χων ἀγρῦ. διελθόντες δὴ καὶ τύτους, ἐς τὸ πεδίον ἐσβάλλομεν, τὸ Ἀχερούσιον· ἀνείσκομέν τε αὐτόθι πολὺ ἡμιθέων τε καὶ τραγῳδῶν, καὶ τὸν ἄλλον ὄμιλον τῶν νεκρῶν κατ' ἔθνη καὶ φῦλα διαλαμβάνομεν. πολὺ μὲν παλαιὸς τινας καὶ εὐρωπιῶντας, καὶ ὡς φησιν Ὅμηρος, ἀμφιγυήεις. πολὺ δὲ νεαλεῖς καὶ σωφρονικότας, καὶ μάλιστα πολὺ Αἰγυπτίων αὐτοῦ, διὰ τὸ πολυαρχικὸν τῆς πολιτείας. τὸ μὲν τοι διαγινώσκειν ἔκαστον, καὶ πάνυ τι ῥᾴδιον. ἅπαντες γὰρ ἀτεχνῶς ἀλλήλοις γίνονται ὅμοιοι, τῶν ὀστέων γεγυμνωμένων, πολλῷ μόνον καὶ διὰ πολλῆς ἀναθεωρούντες αὐτοὺς ἐγινώσκομεν. ἔκειντο δ' ἐπ' ἀλλήλοις ἀμαυροὶ καὶ ἄσημοι, καὶ οὐδὲν ἔτι τῶν παρ' ἡμῖν καλῶν φυλάττοντες. ὥστε πολλῶν ἐν ταὐτῷ σκελετῶν κειμένων, καὶ πάντων ὁμοίων, καὶ φοβερόν τι καὶ διάκενον δεδορκότων, καὶ γυμνὰς τοὺς ὀδόντας περφαινόντων, ἠπόρουν πρὸς ἐμαυτὸν, ᾧ τινι διακρίναιμι τὸν Θερσίτην ἀπὸ τοῦ καλοῦ Νιρέως, ἢ τὸν μεταίτην Ἶρον ἀπὸ τοῦ Φαιάκων βασιλέως, ἢ Πυρρίαν τὸν μάγειρον ἀπὸ τοῦ Ἀγαμέμνονος. οὐδὲν γὰρ ἔτι τῶν παλαιῶν γνωρισμάτων αὐτοῖς παρέμενεν, ἀλλ' ὅμοια τὰ ὀστᾶ λοιπὸν, ἄδηλα καὶ ἀνεπίγραφα, καὶ ὑπ' οὐδενὸς ἔτι διακρίνεσθαι δυνάμενα.

9. Τοιαῦτα δὲ ἐκεῖνα ὁρῶντι, ἐδόκει μοι ὁ τῶν ἀνθρώπων βίος πομπῇ τινι μακρᾷ προσοικέναι, χορήγειν δὲ καὶ διατάττειν ἕκαστα ἡ τύχη, διάφορα καὶ ποικίλα τοῖς πομπεύουσι σχήματα περιάπτουσα. τὸν μὲν γὰρ λαβοῦσα ἡ τύχη, βασιλικῶς διεσκεύασε τιάραν τε ὀρθὴν ἐπιθεῖσα, καὶ πορφύρας περιβαλοῦσα, καὶ τι λοιπὸν κεφαλὴν σείσασα τῷ διαδήματι. τῷ δὲ οἰκέτην σχῆμα περιέθηκε, τὸν δὲ τινα, καλὸν εἰ ἐπόσμησε, τὸν δὲ ἄμορφον καὶ γελοῖον παρεσκεύασε.

ασι. παντοδαπὴν γὰρ οἶμαι δεῖν γηρέσθαι τὴν θέαν. πολλάκις γὰρ διὰ μέσης τῆς πομπῆς μετέβαλε τὰ ἐνίων σχήματα, ὑκ ἐῶσα ἐς τὸ τέλος διαπομπεῦσαι, ὡς ἐτάχθησαν, ἀλλὰ μεταμφίασα τὸν μὲν Κροῖσον ἠνάγκασε τῷ Σαοίκτῃ καὶ αἰχμαλώτῳ σκηνὴν ἀναλαβεῖν, τὸν δὲ Μαιάνδριον, τέως ἐν τοῖς οἰκέταις πομπεύοντα, τῷ Πολυκράτους τυραννίδα μετενέδυσε, καὶ μέχρι μόνου τινὸς εἴασε χρῆσθαι τῷ σχήματι ἐπειδὰν δ' ὁ τῆς πομπῆς καιρὸς παρέλθῃ, τῳ καῦτα ἕκαστον ἀποδοὺς τῷ σκηνῇ, καὶ ἀποδυσάμενον τὸ σχῆμα μετὰ τοῦ σώματος, ὥσπερ ἐκ πρὸ τοῦ, γίγνεται, μηδὲν τοῦ πλησίου διαφέρων. ἔνιοι δ' ὑπ' ἀγνωμοσύνης, ἐπειδὰν ἀπαιτῇ τὸν κόσμον ὀπίσω ἡ τύχη, ἀχθονται γε, καὶ ἀγανακτοῦσιν, ὥσπερ οἰκείων τινῶν στερισκόμενοι, καὶ ὑκ ἂ πρὸς ὀλίγον ἐχρήσαντο ἀποδιδόντες. οἶμαι δὲ καὶ τῶν ὅτι τῆς σκηνῆς πολλάκις ἐφεμένους τοὺς τραγικοὺς ὑποκριτὰς τότε πρὸς ταῖς χερσὶ τῶν δραμάτων, ἄρτι μὲν Κρέοντας, ἐνίοτε δὲ, Πριάμους γιγνομένους, ἢ Ἀγαμέμνονας. καὶ ὁ αὐτὸς, εἰ τύχοι μικρὸν ἔμπροσθεν μάλα σεμνῶς, τὸ τοῦ Κέκροπος ἢ Ἐρεχθέως σχῆμα μιμησάμενος, μετ' ὀλίγον οἰκέτης προῆλθεν ὑπὸ τοῦ ποιητοῦ κεκελευσμένος. ἤδη δὲ πέρας ἔχοντος τοῦ δράματος, ἀποδυσάμενος ἕκαστος αὐτῶν τὸν χρυσόπαστον σκευὴν ἐφῆπτα, καὶ τὸ προσωπεῖον ἀποθέμενος, καὶ καταβὰς ἀπὸ τῶν ἐμβατῶν, πένης καὶ ταπεινὸς ἀπεξέρχεται, ὑκ ἔτ' Ἀγαμέμνων ὁ Ἀτρέως, ὃ δὴ Κρέων ὁ Μενοικέως, ἀλλὰ Πῶλος Χαρικλέους σοφιστὴς ὀνομαζόμενος. ἢ Σάτυρος ὁ Θεογείτονος Μαραθώνιος, τοιαῦτα καὶ τὰ τῶν ἀνθρώπων πράγματα ἐστίν, ὡς τότε μοι ὁρῶντι ἔδοξεν.

10. ΦΙΛ. Εἰπέ μοι ὦ Μένιππε, οἱ τὴν πολυτελῆ

